Bayerische StaatsBibliothek

Münchener DigitalisierungsZentrum
Digitale Bibliothek

Goethe, Johann Wolfgang von

Goethii Iphigenia graece

Berolini 1861

P.o.germ. 1736 e
urn:nbn:de:bvb:12-bsb10124150-5

Copyright

Das Copyright für alle Webdokumente, insbesondere für Bilder, liegt bei der Bayerischen Staatsbibliothek. Eine Folgeverwertung von Webdokumenten ist nur mit Zustimmung der Bayerischen Staatsbibliothek bzw. des Autors möglich. Externe Links auf die Angebote sind ausdrücklich erwünscht. Eine unautorisierte Übernahme ganzer Seiten oder ganzer Beiträge oder Beitragsteile ist dagegen nicht zulässig. Für nicht-kommerzielle Ausbildungszwecke können einzelne Materialien kopiert werden, solange eindeutig die Urheberschaft der Autoren bzw. der Bayerischen Staatsbibliothek kenntlich gemacht wird.

Eine Verwertung von urheberrechtlich geschützten Beiträgen und Abbildungen der auf den Servern der Bayerischen Staatsbibliothek befindlichen Daten, insbesondere durch Vervielfältigung oder Verbreitung, ist ohne vorherige schriftliche Zustimmung der Bayerischen Staatsbibliothek unzulässig und strafbar, soweit sich aus dem Urheberrechtsgesetz nichts anderes ergibt. Insbesondere ist eine Einspeicherung oder Verarbeitung in Datensystemen ohne Zustimmung der Bayerischen Staatsbibliothek unzulässig.

The Bayerische Staatsbibliothek (BSB) owns the copyright for all web documents, in particular for all images. Any further use of the web documents is subject to the approval of the Bayerische Staatsbibliothek and/or the author. External links to the offer of the BSB are expressly welcome. However, it is illegal to copy whole pages or complete articles or parts of articles without prior authorisation. Some individual materials may be copied for non-commercial educational purposes, provided that the authorship of the author(s) or of the Bayerische Staatsbibliothek is indicated unambiguously.

Unless provided otherwise by the copyright law, it is illegal and may be prosecuted as a punishable offence to use copyrighted articles and representations of the data stored on the servers of the Bayerische Staatsbibliothek, in particular by copying or disseminating them, without the prior written approval of the Bayerische Staatsbibliothek. It is in particular illegal to store or process any data in data systems without the approval of the Bayerische Staatsbibliothek.

P. o. germ.
1736
e

10124150

P. o. germ.
1736 e

Goethe

10124150

L. Julin

Nov 1.20.

10124150

10124150

GOETHII IPHIGENIA

GRAECE.

10124150

10124150

GOETHII IPHIGENIA

GRAECE.

BEROLINI
APUD WEIDMANNOS.
MDCCCLXI.

10124150

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MÜNCHEN

10124150

I. FR. MARTINO

PROFESSORI POSNANIENSI

PRAECEPTORI DILECTISSIMO

HUNC LIBRUM

PIETATIS MONUMENTUM ESSE

VOLUIT

AUCTOR.

10124150

I. FR. MARTINO THEODORUS KOCK S. P. D.

Quod ante triennium fere opus, dilectissime Martine, si tam opportunum pertexendo quam inchoato tempus nactus essem, confecturum me esse promisi, id iam ad finem perductum susceptumque officium expletum vides. Est enim vitae quam Stolpae ago ea felicitas et tam fructuosa muneris quo hic fungor tranquillitas, ut etiam in negotiis difficilibus sane et operosis satis mihi otii et quietis suppetat ad Musarum sacra interdum obeunda. Atque omnino hic tum civium meorum favor et gratia tum universa condicionis meae opportunitas ita me iuvat et confirmat, ut quidquid posthac Dei O. M. voluntate acciderit, pro huius domicilii suavitate summam ei semper et debeam et habiturus sim gratiam. Ita enim mihi persuasum est, quamquam neque ea quam antea transegi vita suis voluptatibus caruit neque futuram prorsus infelicem fore spero, tamen hoc quod hic dego tempus beatissimum omnium et iucundissimum fuisse. Et hac profecto vitae sortisque securitate maxime effectum est, ut

hoc tandem absolveretur opus, quod non tam ingenii copiam et studii diligentiam quam hilaritatem quandam mentis sollicitudinibus vacuam desiderabat.

et ingenii quadam cognatione adducti ad haec studia

accedunt. Namque eorum quidem, qui perfecto puerilis institutionis cursu in publicae vitae contentiones progrediuntur, perpauci hodie sua sponte et cum voluptate redeunt ad fontes illos perennes, qui ex laetissimis Graeciae Latiique campis per omnem temporum memoriam manant. Abiiciuntur plerumque quam celerrime eorum studiorum monumenta, quae non ad utilitatem quam dicunt et iucunditatem vitae, sed in obsoletae cuiusdam doctrinae latebras abducere videantur. Quodsi Graecorum Romanorumque, si vel nostrorum poetarum laudes temporum iniuria in dies magis obscurantur: ubi tandem terrarum eum quaeres, qui imitatorem veterum scriptorum non contemnat et reformidet? aut ubi graecae Iphigeniae benevolum lectorem invenies, quae ne patrio quidem sermone aures animosque hominum admodum advertat?

Est quidem aliquid in tanta temporum iniquitate spei et solatii relictum. Sunt tamen, carissime magister, sunt qui veterum poetarum non solum lectione sed etiam imitatione hodie quoque delectentur: viget adhuc in Britannia, fidelissima horum studiorum nutrice et adiutrice, viget Oxonii et Cantabrigiae, locis omnium saeculorum fama celebratis, viget ad quietas argenteae Sabrinae ripas, viget in summo commerciorum strepitu ac tumultu antiquae poesis consuetudo et veneratio; et in illo ipso populo, cuius per totum orbem terrarum merces et inventa, per omnes marium solitudines remi ac vela

feruntur; cuius navigationes et itinera neque inerti ultimae Thules glacie neque fervido Libyci solis aestu terminantur; cuius imperio tot hominum milia reguntur, ingenio artes quae ad utilitatem vitae pertinent acerrime excoluntur: in illo ipso igitur populo

et ex eorum qui paullo elegantiores sibi esse videntur usu et consuetudine relegata; et si quis in iis aliquid temporis et operae consumat, *ligna in silvam* ferre et vel Horatii iudicio condemnari existimatur aut, ut apud Shakespearium Cicero, propter ipsam versus faciendi facultatem tanquam homo delicatior et ad officii severitatem inutilis deridetur. Quem vero paullo acrius iis deditum esse cognoverint, eum confestim sibi fingunt hominem a vitae usu longe remotum, tetricum, truculentum, in vasta putidae doctrinae mole desudantem, suis opinionibus ridicule quasi addictum neque ultra domesticos parietes unquam prospectantem. In horrido vetustorum voluminum pulvere et squalore adeo eius et corpus et animam exaruisse existimant, ut quid vitae ratio, quid reipublicae salus, quid naturae leges postulent, intelligere nequeat et literarum apices grammaticarumque nugarum quisquilias magis curet quam patriae fortunam et immensa illa quae hodie ubique cernantur reliquarum artium doctrinarumque incrementa.

Quae crimina quum in omnes conferantur qui in his studiis operam et laborem collocant, fieri non posse intelligo, magister dilectissime, quin haec quoque mea Iphigenia in ea incurrat. Clamabunt enim undique et vociferabuntur non esse hominis communi civium utilitati consulentis multorum annorum otium in istiusmodi nugis conterere, quibus paucis admodum voluptas, nemini fere quidquam commodi paretur. Multo, inquiunt, praestantius erat, quo tempore

in opere inutili condendo abutebare, id totum in muneris officiis exsequendis consumere. Audio; et magnopere, mihi crede, ista admonitione commoveor: gravissimum enim apud me, ex quo Tua, carissime Martine, Schoenbornique disciplina *curvo dignoscere rectum* didici, et honestissimum est nomen officii. Nam divina suum cuique munus impositum et iniunctum esse existimo non necessitate, sed benevolentia: quod qui sanctissime et religiosissime tueri conetur, spreta et contempta illa vanitate, qua omnia sibi experienda esse homines opinantur, eum vere probeque dei voluntatem perspexisse et modeste consilia eius sequi arbitror. Sed quoniam quod mihi iniunctum est munus ludimagistri, quamquam summis omnium gaudiis abundat, tamen interdum durum est et laboris severitate austerum — nam desudare in opere suo deus homines iussit, ex quo a sanctissima eius voluntate declinaverunt —, et quoniam qui diurnum laborem rite sustinuit recreatione aliqua indiget et relaxatione animi; ego quidem otio meo ita utor, ut mea fert natura et indoles: nam non quaesitum est hoc genus a me oblectationis, sed sua sponte mihi oblatum. Iam diu enim, quum aut hiberno tempore ad exoptatum vespertinae lucernae lumen domestica quiete et tranquillitate fruor, aut aestate ad fluminis ripas vel in arborum umbra refrigerationis voluptatem capto, aut ad litus maris sedens, innumerabili ut ait Aeschylus fulgore vibrantis, undarum leni cum fremitu albescentium numerosum accessum et

recessum specto salubremque Neptuni spiritum toto pectore excipio: tum mihi saepissime tragicorum et graecorum et nostrorum verba vel legenti vel memoria repetenti sua sponte suboritur cupiditas quae in iis cognata sunt sententia et cogitatione ipsa etiam lingua exaequandi, ut graeca in nostrum, germanica in graecum sermonem convertam; idque studium summo me semper afficit gaudio. Itaque ut vere ineunte Favonii prospero flatu terrae gremium aperiunt, terra recentes flores gignit, flores odorum varietatem fundunt non solum illi quibus omnes delectantur, sed etiam qui in remota convallium umbra neglecti delitescunt: ita mihi quoque naturam sequi eique studio, quod ad meum ingenium accommodatissimum videtur, operam dare licebit, etiamsi nemo meis versibus delectetur animumve advertat. Neque, si quis propterea non edendum fuisse hunc libellum sed in scriniis retinendum censeat, ego quidem magnopere repugno: putabam tamen fieri posse, si antiquitatis studia aliquando laetius effloruissent, ut paullo plures non nihil ex eo vel voluptatis perciperent vel utilitatis, quum et similitudines nostri cum graeco sermonis et dissimilitudines quasi exemplo quodam proposito melius possent cognosci et iam nostra Iphigenia cum duabus illis graecis in eandem quasi aciem descendens accuratius comparari. Praeterea autem, si tota aliqua de nostris fabula, quae proxime ad Sophocleae tragoediae suavitatem accederet, in graecum sermonem esset conversa, fore sperabam ut appareret non adeo

esse mortuam et exstinctam veterum Atheniensium linguam, ut non hodie quoque tanquam e stirpibus renascens novum aliquem et laetum quasi surculum posset submittere.

Mortuas enim vocant, si diis placet, carissime Martine, veterum linguas, in quibus adhuc summa vigeat vis et alacritas; quarum et hodie exstent et per omnia saecula mansura sint pulcherrima praeclarissimorum ingeniorum monumenta; quae non solum ipsae semper quamvis obscuratae ad tempus et contemptae reviviscant, sed etiam gentibus non magis feris et barbaris quam supra modum excultis eoque enervatis alterum ut ita dicam afferant florem adolescentiae. Nam profecto longe aliam atque Tithonus deorum benignitate antiquitas sortita est senectutem, omni tabe et imbecillitate liberam, cum aeterna viridique iuventute coniunctam. Quam quidem iuventutem et viriditatem etiam cum amatoribus suis communicat multoque praesentioribus venenis quam quibus *fessum aetate* Aesonem Medea recoxit ingenii vires plumbeo languore confectas ita reficit et recreat, ut quasi revirescant et repuerascant. Sed nimirum vulgo mortui dicuntur etiam qui ad novam melioremque vitam surrexerint; mortui, quorum etiamsi corpora exstincta sint et consumta, animae diu humilem istam et fragilem sedem reliquerint et in beatas beatorum insulas migraverint. Ista sane ratione nihil impedit quominus etiam Graeciae Latiique linguas mortuas dicamus; nam sonus earum ut ita dicam iam pridem

evanuit, neque in commerciis gentium usquam audiuntur: at longe aliam nactae sunt praestantioremque vitam, quoniam a profanorum hominum consuetudine et vulgi circulis remotae in eorum usum abierunt, qui non huius vitae commodis serviunt, sed iam in hoc mundo perfectae absolutaeque pulchritudinis et veritatis vestigia cum pio desiderio persequuntur. Meministi, doctissime Martine, apud Homerum duas discerni inter se linguas, quarum altera dii immortales, altera mortalium gentes utantur: ita mihi hodie veterum Graecorum et Romanorum linguae divinae videntur appellandae, quia iam immutabilem et aeternam degunt vitam, mortalium rerum fragilitati et vicissitudinibus non amplius subiectam: quam perversa hominum consuetudo mortem nuncupavit ignorantium non ea vivere quae aliquamdiu in hoc terrarum orbe vigent sed mox vel temporum iniquitate vel naturae necessitate exstinguuntur, sed ea quae neque crescentia neque decrescentia, immutata semper et intemerata in altero illo iam non terrarum orbe sempiterna fruuntur iuventute. Sed quamquam ipsae iamiam e quotidiano hominum usu sese receperunt, tamen immortalitatis semina etiam in nostra vita et in nostris linguis large spargunt et reponunt: nam quidquid in his nitet et floret, etiamsi uberius interdum et laetius sit excultum, tamen ex illis colorem et speciem atque ipsum quasi succum duxit et sanguinem vitalem.

Atque haec quidem hactenus. Quum autem homines plurimi magis narrationis suavitate quam disserendi severitate teneantur, oro Te, dilectissime magister, ut mihi, quae Tua est comitas ac benevolentia, ea quae modo dixi fabula quadam permittas illustrare, quam ante multos annos me audire memini. Erat autem illa in hunc fere modum composita.

Fuit olim homo nobilis et sapiens, omnibus copiis florens et beatus. Is possidebat agrum uberrimum et laetissimum, omni frugum genere fecundum; sed nihil ei tam gratum erat et acceptum quam quercus quaedam, ingens et opaca, summis frondibus longe eminens super ceteras quae permultae ibi spectabantur arbores et virgulta. Latam undique densamque ramis spargebat umbram; in solis aestu iucundam et mirifice temperatam praebebat commorationem; frigus frondis copia tanquam tegumento quodam mitigabat; ipsa ramorum varie curvatorum specie ac forma spectantem delectabat; perennis aquae fons prope radices eius exoriens et gramen mollissimum perlucida unda irrigans grato murmure somnum et quietem invitabat. Adde quod ingens avium numerus sub frondibus eius tanquam sub tecto habitabat et venustissimo vocum concentu aëra permulcebat. Radices nodosae et rugosae ut solent libera quadam contumacia, non ad mathematicorum regulam et perpendiculum late per herbas diffundebantur. Multorum iam illa viderat saeculorum et ortum et occasum,

sed robusta ei *viridisque* erat *senectus*. Itaque et dominus libentissime cum liberis in umbra eius confabulabatur et hospites, qui ex longinquis terris plurimi ad eum veniebant, cum admiratione eam et non sine aliqua religione intuebantur: nam prisci illi simplicesque et faciles ad pietatem homines latere aliquid divini numinis in tam pulchro naturae artificio suspicabantur. Tandem accidit ut dominus de vita decederet placida morte absumptus et, quum filii hereditatem inter se dispertirent, ager ille et quercus maximo sorte obtingeret. Is, ut solent adolescentes, aliquanto plus patre sapere sibi videbatur; namque admirabatur quidem ipse quoque et suspiciebat arborem: at radicum multiplicem compagem minus esse probandam putabat: mortuas enim esse et iamiam prorsus inutiles. Itaque praecidi eas iussit, ut esset planior sub arbore area, neve iam iis qui sedentes umbrae aërisque iucunditate fruerentur prominentium truncorum impedimentis incommodaretur. Sed praecisis radicibus magis in dies tota quercus exaruit; frondibus sole exustis aufugerunt Nymphae, avolarunt aves; et pro amoenissimo deversorio moesta ubique erat et muta solitudo.

Sed iam videtur huius disputationis finis faciendus esse, ne Te, dilectissime magister, ab ipsius Iphigeniae lectione, cui hoc quasi prooemio prolusimus, taedium et satietas prohibeat. Tu si inter-

dum in iis quae scripsi *tenuem* Sophocleae *Camenae spiritum* agnoveris, satis ego magnum laboris fructum percepero. Verum utut haec erunt, cura ut ipse quoque senectutem adipiscare viridem et diuturnam. Vale.

Scrib. ad litus maris Germanici in insula Frisiorum Syltina mense Iulio a. h. s. LX.

10124150

ΙΦΙΓΕΝΕΙΑ.

10124150

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΦΙΓΕΝΕΙΑ.
ΑΡΚΑΣ.
ΘΟΑΣ.
ΟΡΕΣΤΗΣ.
ΠΥΛΑΔΗΣ.

10124150

A.

ΙΦΙΓΕΝΕΙΑ.

Ἐς τήνδε δένδρων ὑψιγεννήτων σκιὰν
αὔραις γεραιὸν βαιὰ κινούντων κάρα
θεᾶς τ᾽ ἄφωνον ἄλσος, ἄστειπτον βροτοῖς,
πέφρικ᾽ ἀεὶ στείχουσα καὶ ταρβῶ φρενί,
ὡς ἡνίχ᾽ ἱρὸν πρῶτον εἰσέβην τόδε, 5
στέργειν δ᾽ ὁ θυμὸς τἀνθάδ᾽ οὐ διδάσκεται.
μακρὸν μὲν ἤδη τῇδε κρύπτομαι χρόνον
θεῶν γε βουλαῖς, αἷσι πειθαρχεῖν χρεών,
ξένη δ᾽ ἀεί πως, ὡς προτοῦ, κεκλήσομαι.
εἴργει γὰρ ἡ θάλασσα τῶν φίλων ἐμέ, 10
ἁλός τ᾽ ἐπ᾽ ὄχθαις πολλάκις καθημένη
Ἑλληνίδ᾽ αἶαν εἰσιδεῖν ἱμείρομαι·
βρυχίοις δὲ θρήνους τοὺς ἐμοὺς δυσχείμερος
πόντου κλύδων δούποισιν ἀνταμείβεται.
ἐλεινὸς ὅστις ὢν κασιγνήτων ἄπο 15
πατρός τε μητρός τ᾽ ἄχαριν ἐκτρίβει βίον.
πασῶν γὰρ αὐτὸν ἡδονῶν ἀποστερεῖ
λύπη, ποτῶνταί θ᾽ αἱ φρένες πλανώμεναι
πατρὸς πρὸς αὐλήν, ἔνθα λαμπρὸν ὄμμασιν
ἔφηνε πρῶτον αἰθέρ᾽ ἡλίου σέλας, 20
φιλίας τε συμπαίζοντες ἥλικες χάριν

συνηρμόσαντ᾽ εἰς πάντ᾽ ἐπαρκούσης βίον.
θεοῖς ἐρίζειν οὐ θέμις. δῆλον δ᾽ ὅτι
τὰ τῶν γυναικῶν ἄξια στεναγμάτων.
ὁμῶς γὰρ οἴκοι κἂν μάχαις ἀνὴρ κρατεῖ,
ἀρκεῖ δ᾽ ἑαυτῷ καὶ ξένης ἐπὶ χθονός.
πλούτου πατρῴου κτῆσις ἀρσένων ἀεὶ
νίκη τε θάνατός τ᾽ εὐκλεὴς νομίζεται.
γυναιξὶ δ᾽ οἰκτρὰν ὥρισεν τύχην θεός.
ἀρέσκεται γάρ, κἂν πόσει δεδμημένη
σκληρῷ τρόπους ζῇ· παντάλαινα δ᾽, ἥντιν᾽ ἂν
πατρίδος ἄποικον ὠμόφρων ῥίψῃ τύχη.
ὡς νῦν Θόας με, τἄλλ᾽ ἀνὴρ γενναῖος ὤν,
δεσμοῖς ἐν ἀρρήκτοισι δουλώσας ἔχει.
αἰδὼς μὲν ἴσχει μ᾽, ἀλλ᾽ ὅμως εἰρήσεται·
ἄκουσά σοι, δέσποινα, λατρεύω, φίλη,
ἥπερ μ᾽ ἔσωσας, ἧπερ εὐνοίας χάριν
βίον τ᾽ ἀνεῖναι πάντα καὶ ψυχήν μ᾽ ἔδει.
ἀλλ᾽ εἰς σὲ γὰρ βλέπουσα τάσδ᾽ ἔχω πνοάς,
καὶ νῦν, ἄνασσα, προσβλέπω σ᾽ αἰτουμένη,
ἥπερ μεγίστου βασιλέως τέκνον φόνου
ἀγαναῖς λαβοῦσά μ᾽ ἐξέλυσας ἀγκάλαις·
εἰ τὸν τεκόντα μ᾽, ὦ Διὸς σεμνὴ κόρη,
ὃν ἐξέπληξας θυγατέρ᾽ ἐξαιτουμένη,
εἰ τὸν θεοῖς ὅμοιον Ἑλλήνων πρόμον
Ἀγαμέμνον᾽, ὃς τοὺς φιλτάτους ἔθυσέ σοι,
πέρσαντα Τροίας πέργαμ᾽ αἰσίᾳ τύχῃ
πάτρας πρὸς οὖδας ἄσμενον κατήγαγες,
δάμαρτά τ᾽ Ἠλέκτραν τε καὶ τὸν φίλτατον
σώσασ᾽ Ὀρέστην πάντα πρευμενὴς ἔφυς,

κἄμοιγ᾽, ἄνασσα, τοὺς ἐμοὺς δὸς εἰσιδεῖν,
χὥσπερ με δεινοῦ καὶ τότ᾽ ἐρρύσω μόρου,
μόρῳ μ᾽ ὁμοίου τοῦδε νῦν ῥῦσαι βίου.

ΑΡΚΑΣ.

Θόαντος ἥκω βασιλέως πεμφθεὶς ὕπο
χαίρειν προφωνῶν ἱερίᾳ σεμνῇ θεᾶς.
ἐπεὶ γὰρ ἡμῖν Ἄρτεμις τῷδ᾽ ἤματι
ἐχθρῶν τροπὴν δέδωκε θαυμαστὴν κλύειν,
προὔστειλεν ἡμᾶς δεῦρο τῆσδ᾽ ἄρχων χθονὸς
στρατόν τε καὐτὸν ἀγγελοῦντας ὡς πέλας.

ΙΦΙΓΕΝΕΙΑ.

ἡμεῖς τε δέξασθαι παρεσκευάσμεθα
ἀρχὸν πρεπόντως, ἵλεώς τ᾽ ὄσσοις θεὰ
θυσίας Θόαντος Ἄρτεμις προσόψεται.

ΑΡΚΑΣ.

ὡς ἡδέως ἂν καὶ σὲ τὴν θεᾶς λάτριν,
ἣν οὐκ ἔλασσον δαιμόνων τιμᾷ λεώς,
φαιδρὸν βλέπουσαν εἰσίδοιμι σήμερον,
οἰωνὸν ἐσθλὸν πᾶσιν. ἀλλ᾽ ἐπεὶ στέγεις
ἄγνωτον ἡμῖν ἄλγος ἐν στέρνοισι σοῖς,
μακρὸν ποθοῦμεν καὶ μάτην ἤδη χρόνον
φίλον τι προσφώνημα σοῦ κλύειν πάρα.
κἀγὼ μέν, ἐξ ὅτου σὺ τῇδ᾽ οἰκεῖς χθονί,
τοιάνδ᾽ ἀεὶ πέφρικα σὴν ὄψιν βλέπων.
ἀδαμαντίνῃ γάρ, ὡς ἔοικε, σὸν κέαρ
τρόποις ἀμειλίχοισιν ἥρμοσται πέδῃ.

ΙΦΙΓΕΝΕΙΑ.

πρέπει γὰρ οὕτως φυγάδας ἠρημωμένας.

ΑΡΚΑΣ.

75 δοκεῖς δὲ σαυτῇ τῇδ᾽ ἐρῆμος ἢ φυγάς;

ΙΦΙΓΕΝΕΙΑ.

οὔ τοι ξένη χθὼν πατρίδος γ᾽ ἀνταξία.

ΑΡΚΑΣ.

σοὶ δ᾽ ἐξένωται πατρὶς ἐκ συχνοῦ χρόνου.

ΙΦΙΓΕΝΕΙΑ.

ὥστ᾽ οὔποτ᾽ ἀμὸν ἀλγέων λήξει κέαρ.
πρώτης γὰρ ἥβης ὡς τὰ πρῶτ᾽ ἔδυ φρένα
80 πατρός τε μητρός τ᾽ ἠδ᾽ ὁμαιμόνων πόθος,
κοινή τε βλαστῶν τῶν νέων τροφὴ νέοις
κρύπτουσα ῥίζας τὰς παλαιγενεῖς κλάδοις
ἀνέδραμεν πρὸς αἰθέρ᾽, ἔνθ᾽ οἰκτρὰν ἐμὲ
ἐχθρὰ λαβοῦσα τῶν φίλων ἐνόσφισεν
85 θεῶν ἀραία μῆνις, ἡδίστην ἐμοὶ
ξυνουσίαν λύουσα· σὺν δ᾽ ἀποίχεται
ὥρας γλυκείας ἡδονὴ καὶ χάρματα
ἥβης ἀλύπου· καὶ γὰρ εἰ σεσωσμένη
κυρῶ, σκιαῖς ἔοικα ταῖς ἔνερθε γῆς,
90 κοὐ μή μ᾽ ἔτ᾽ αὖθις ἵμερος θέλξῃ βίου.

ΑΡΚΑΣ.

ἀλλ᾽ εἴπερ οὕτως ἀθλίαν σαυτὴν καλεῖς,
κἀμνήμον᾽ ἄν τις τῶν φίλων σ᾽ ὀρθῶς καλοῖ.

ΙΦΙΓΕΝΕΙΑ.

οὔ τοί ποθ᾽ ὑμῶν γ᾽.

ΑΡΚΑΣ.

ἀλλ᾽ ὅμως ἡμῖν φθονεῖς,
ἀνθ᾽ ὧν προθύμως ἄνδρ᾽ ἀνὴρ εὐεργετεῖ.
95 οὐ γὰρ χαρᾶς πρόσωπον ἐκφαίνεις ποτέ,

φίλης ἄναυδον ἄγγελον προθυμίας,
ἐξ οὗ θεῶν σε δύσκριτοι ξυναλλαγαὶ
ἐτῶν πρὸ πολλῶν τόνδ᾽ ἔσωσαν ἐς νεών.
καὶ μὴν Θόας τε θεῖον ὡς κειμήλιον
μετ᾽ εὐσεβείας σ᾽ εὐφρόνως τ᾽ ἐδέξατο, 100
καὶ χθὼν ὁμοίως ἥδε σοί γ᾽ εὔνους τροφὸς
πέφυκεν, ἡ ξένοισι πρὶν στυγουμένη.
πάρος γὰρ ὅστις πρὸς τόδ᾽ ἐκφύγοι πέδον,
Ἀρτέμιδος ἀεὶ πρὸς βροτοφθόροις βάθροις
θεσμῷ παλαιῷ λαιμότμητος ὤλλυτο. 105

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ ἀσφαλῶς πνεῖν γ᾽ οὔ τί πω γλυκὺς βίος.
γλυκὺν γὰρ ἡγεῖ βίοτον, ὃν βωμοῖς πάρα
εἴδωλον ὡς τύμβοισι προσκαθήμενον
τάλαινα τρύχω; πῶς τοιοῦτον ἂν καλοῖς
ξὺν ἡδονῇ βιωτόν, αὐτάρκη βίον, 110
ὅταν γ᾽ ἀμαυρὸν ὡς ὄναρ πλανώμενον
πᾶσ᾽ ἡμέρα σε κεῖν᾽ ἀναμνήσῃ σκότος,
ὅπερ λιποψυχοῦντες ἐν Λήθης πέδῳ
βλέπουσιν οἰκτροὶ τῶν κεκμηκότων χοροί;
ἢ κἄρτ᾽ ἄχρηστος ἐμφερὴς μόρῳ βίος 115
αὐαίνεται γυναιξί, καὶ μάλιστ᾽ ἐμοί.

ΑΡΚΑΣ.

τὸ μή σ᾽ ἀρέσκειν πάνθ᾽ ὅσ᾽ ἐνθάδ᾽ εἴργασαι
ξυγγνωστέον μέν, ἄξιον δ᾽ ἐποικτίσαι·
μάτην γὰρ ἄλγος ἡδονῶν σ᾽ ἀποστερεῖ.
πῶς δ᾽ εἶ σὺ πάντ᾽ ἄπρακτος ὢν πάρει χρόνον; 120
τίς γὰρ Θόαντος ἢ σὺ πραΰνει φρένας;
τίς δ᾽ αὖ παλαιὸν δυσπαραίτητον νόμον,

ὃς πρὸς θεᾶς βωμοῖσι τοὺς ξένους ἀεὶ
σφάζειν κελεύει, πολλὰ δὴ σοφῶς ἔτη
125 πειθοῦς πεδήσας ἠπίοις δεσμώμασι
τοὺς αἰχμαλώτους ἀπὸ φόνου καὶ φασγάνων
εἰς φιλτάτην ἔσωσε πατρῴαν χθόνα;
θεὰ δέ γ᾽ οὐδὲν Ἄρτεμις μηνίεται
θυσιῶν βροτείων νῦν ἀπεστερημένη,
130 κλύει δ᾽ ἀναίμων εὐμενεστέρα λιτῶν.
τοιγὰρ στρατόν τ᾽ ὄρνιθος αἰσίου δίκην
Νίκη προπέμπει, κραίπν᾽ ἐρέσσουσα πτερά,
ἡμῖν τε πᾶσι καινὸς ὤρθωται βίος,
ἐξ οὗ βία Θόαντος, ἐκπάγλου ποτὲ
135 σκληροῦ τ᾽ ἄνακτος, σῇ παρουσίᾳ τανῦν
ἐξημέρωται, καὐτὸς εὐφρανθεὶς ἅμα
πειθαρχίας Ταύροισι κουφίζει βάρος.
καὶ ταῦτ᾽ ἄρχηστα δὴ καλεῖς, ἰῶν σῶν ὅτε
μύθων ἐπῳδαὶ πάντα κηλοῦσιν βροτόν,
140 καὶ βαρβάρων λαοῖσι προσθήκῃ θεοῦ
πλαθεῖσ᾽ ἀείζων κρουνὸν εὕρηκας χαρᾶς,
ξένοις δὲ ταῖσδε πρὸς πέτραις ἐχθροξένοις
σωτηρίαν καὶ νόστον ἐκπράσσεις φίλον;

ΙΦΙΓΕΝΕΙΑ.

τὰ παῦρα θᾶσσον ἐξαμαυροῦται φρενῶν
145 ὅσον λέλειπται τοῦ πόνου μεμνημένοις.

ΑΡΚΑΣ.

τὸν οὐδὲν αἰνοῦνθ᾽ ὧν ἔδρασ᾽ αἰνεῖν δοκεῖς.

ΙΦΙΓΕΝΕΙΑ.

οὔκ, ἀλλὰ μεμπτὸν ἢ λίαν αὐθαδία.

ΑΡΚΑΣ.

ἔμοιγ᾽ ὅ τ᾽ ἀρετῆς γνησίας ὑπερφρονῶν
χὠ τὴν νόθην ἐς ὕψος ἐξαίρων κακός.
πρὸς ταῦτα πείθου καὶ λόγους δέχου φίλων, 150
οἷ σοι παρεστᾶσ᾽ ἐμπέδοις φρονήμασιν·
ἢν σήμερον χρῄζων τι πρός σ᾽ ἔλθῃ Θόας,
λείαν τιν᾽ αὐτῷ σκεύασον μύθων ὁδόν.

ΙΦΙΓΕΝΕΙΑ.

οἴμ᾽ ὡς φοβεῖς λόγοισι καίπερ εὖ φρονῶν·
μόλις γὰρ αὐτοῦ τοὺς γάμους ἐκφυγγάνω. 155

ΑΡΚΑΣ.

καὶ μὴν τὰ λῷστα σωφρόνως γ᾽ ἔχει ποιεῖν.
ἐξ οὗ τὸν υἱὸν ὁ βασιλεὺς ἀπώλεσεν,
ὀλίγοις τισὶν πέποιθε τῶν ἐγχωρίων
καὐτοῖσι τούτοις ἧσσον ἢ ᾽ν τῷ πρὶν χρόνῳ
παῖδας δ᾽ ἀρίστων τῆσδ᾽ ὑποπτεύων χθονὸς 160
ὡς δή ποτ᾽ ἀρχῆς διαδόχους τῆς Ταυρικῆς,
φίλων φοβεῖται γῆρας ἠρημωμένον
στάσιν τ᾽ ἀναρραγεῖσαν ἢ ταχὺν μόρον.
πρὸς δὲ Σκύθαι μὲν πάντες οὐ θαυμάζομεν
καλῶν λόγων τεχνήμαθ᾽, ὡσαύτως δ᾽ ἄναξ. 165
τάσσειν γὰρ εἰωθώς τι καὶ πράσσειν ἀεὶ
οὐκ οἶδε πολλαῖς φροντίδων πλανώμενος
ὁδοῖσι πειθοῦς εὐχερῶς θηρᾶν χάριν.
πρὸς ταῦτ᾽ ἀτιμάσασα μήτ᾽ ἀποστρέφου
αἰτοῦντα μήτε προσποιοῦ τὸ μὴ εἰδέναι, 170
ἀλλ᾽ εὐμενῶς ὅδωσον ὃν στείχει στίβον.

ΙΦΙΓΕΝΕΙΑ.

ἆρ᾽ οὖν ταχύνω, τῶν μάλιστ᾽ ὄκνος μ᾽ ἔχει;

ΑΡΚΑΣ.

ὄκνος δ᾽ ἔχει σε βασιλέως μνηστευμάτων;

ΙΦΙΓΕΝΕΙΑ.

πάντων μάλιστά γ᾽ ἐκφοβῶν ἐμὴν φρένα.

ΑΡΚΑΣ.

175 σὺ δ᾽ ἀντ᾽ ἔρωτος ἀλλὰ πίστιν ἂν φέροις.

ΙΦΙΓΕΝΕΙΑ.

ὅταν γε τάρβους τοὐμὸν ἐκλύσῃ κέαρ.

ΑΡΚΑΣ.

τί δῆτα κρύπτεις πατρίδα καὶ γένος τὸ σόν;

ΙΦΙΓΕΝΕΙΑ.

δούλῃ θεᾶς εἰδυῖά γ᾽ ὡς σιγὴ πρέπει.

ΑΡΚΑΣ.

οὐδὲν δὲ πρός γ᾽ ἄνακτας ἂν σιγᾶν πρέποι.

180 πείθου δέ· πίστιν καίπερ οὐκ αἰτῶν, ὅμως

λαθραῖον ἄλγος εὐγενεῖ τρέφει φρενί,

ὁθούνεκ᾽ ἀεὶ πάντα νιν κρύπτεις τὰ σά.

ΙΦΙΓΕΝΕΙΑ.

ἦ δυσμένειαν εἰς ἔμ᾽ ἢ κότον φέρει;

ΑΡΚΑΣ.

ἔοικε· σιγᾷ μέν γ᾽ ἀεὶ καὶ σοῦ πέρι,

185 λόγοι δ᾽ ἀβούλως ἀσκόπως τ᾽ ἐρριμμένοι

δηλοῦσιν, ὡς γνώμαισιν ἐμπέδοις τανῦν

αὐτῷ δέδοκται τὸν σὸν αἱρεῖσθαι γάμον.

πρὸς ταῦτα μή νιν λιπαροῦντ᾽ ἀτιμάσῃς

μὴ καὶ βαρύν τιν᾽ ἐν φρεσὶν πέψῃ χόλον,

190 σὺ δ᾽ ἐκπλαγεῖσα καὶ μάτην χρόνῳ μάθῃς,

ὡς κεδνὰ τἀμὰ προὔβαλες βουλεύματα.

ΙΦΙΓΕΝΕΙΑ.

τί φῄς; Θόας ἄρ᾽, οἷον εὐγενὴς ἀνὴρ
οὐ πώποθ᾽, ὅς γ᾽ εὔκλειαν οἷς δόμοις θέλει
λείπειν θεῶν τε κοσμίως θεσμοὺς σέβει,
ἔτλη περᾶναι, τοῦτο μηχανήσεται; 195
ἢ πού μ᾽ ἐς εὐνὴν ἁρπάσει βωμοῦ πάρα;
θεούς τε τοίνυν πάντας εὔψυχόν τε δὴ
πάντων μάλιστα προσκαλοῦμεν Ἄρτεμιν,
ἣ παρθένῳ γε παρθένος φίλον φανεῖ
δούλῃ τ᾽ ἄνασσα τέρμα τῆς σωτηρίας. 200

ΑΡΚΑΣ.

μηδὲν φοβηθῇς· οὐ γὰρ ἐξορμᾷ μένος
βίαιον αὐτὸν οὐδὲ μὴν ἥβης ὕβρις
ξύνοικος ἔργ᾽ ἄβουλα μήσασθαι φρεσίν.
φονιωτέραν δέδοικα μὴ γνώμην λαβὼν
καινὴν ἀταρβεῖ μῆτιν ἐκτελῇ χερί· 205
ψυχὴν γὰρ ἀπαράμυθον ἐν στέρνοις ἔχει.
σὺ δ᾽ ἀλλὰ πίστιν, ἱκέσιός σε λίσσομαι,
εἰ μηδὲν ἄλλο, καὶ χάριν γ᾽ αὐτῷ φέρε.

ΙΦΙΓΕΝΕΙΑ.

μή μοι φθονήσῃς, ὦ φίλ᾽, ὧν ἐπίστασαι.

ΑΡΚΑΣ.

αὐτόν γ᾽ ἐρώτα. δεῦρο γὰρ στείχονθ᾽ ὁρῶ. 210
τιμᾷς γ᾽ ἄνακτα καὶ σύ, καὶ τὸ σὸν κέαρ
χρῆσθαι κελεύει τἀνδρί σ᾽ ὡς εὐεργέτῃ.
μέμνησο δ᾽ ὡς γενναῖος εὐχερῶς ἀνὴρ
ἀγανῇ γυναικῶν προστροπῇ μαλάσσεται.

ΙΦΙΓΕΝΕΙΑ.

ὁρῶ μὲν οὔπω, πῶς λόγοις ἐφέψομαι 215

τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν.
Θόαντι δ' ὧν μ' ἔδρασεν ἣν σθένω χάριν
ἑκοῦσα τίσω. προσφιλεῖς δ' ἐπεύχομαι
βασιλεῦσιν εἰπεῖν ξύν τ' ἀληθείᾳ λόγους.

δώροις σε βασιλικοῖσιν ὀλβίσαι, Θόας,
πόροι τε κῦδος Ἄρτεμις νίκην τέ σοι
πλοῦτόν τε καὶ τοῖς σοῖσιν εὐεστὼ φίλην
εὐχῶν τε πρᾶξιν εὐσεβῶν τελεσφόρον,
ἵν', ὥσπερ ἄρχεις ἐπιμελῶς πολλῶν βροτῶν,
οὕτως πρὸ πολλῶν οὐρίᾳ χρήσῃ τύχῃ.

ΘΟΑΣ.

κλέος μὲν ἀνδρῶν οὐδὲν ἢ κούφη σκιά,
πλούτῳ δέ γ' οὐ χαίρουσιν οἱ κεκτημένοι.
ἐμοὶ δ' ἐκεῖνος εὐτυχέστατος βροτῶν,
εἴτ' ἐστὶν ἄρχων εἴτε τῶν πολλῶν, δοκεῖ,
ὅτῳ 'ν δόμοισι χαρμονῆς τέρψις παρῇ.
ἐμῆς γε μὴν σύ γ' ἦσθα κοινωνὸς δύης,
ὅτ' ἔγχος ἀνδρῶν πολεμίων τὸν παῖδά με
πάντων ἄριστον λοίσθιόν τ' ἀφείλετο.
ἕως μὲν οὖν ἔπρασσον οἰκεῖον φόνον,
ἐρημίας οἴκοισιν οὐκ ἐπῃσθόμην·
τανῦν δ' ἀνελθὼν μεστὸς ὢν ἐλιπάρουν,
φθείρας μὲν ἐχθρούς, παιδὶ δ' ἐκπράξας δίκην,
οὐδὲν δόμοισι τοὐμὸν εὐφραίνει κέαρ.
πειθαρχίας γὰρ ἡ προτοῦ προθυμία
φαιδροῖσιν ὄσσοις προσβλέπουσ' ἔσαινέ με,
τανῦν μερίμναις ἐκτετύφλωται κακαῖς·
πᾶς γὰρ τὰ μέλλονθ' ὡς γενήσεται σκοπεῖ

κἄπαιδι πείθεται μέν, ἀλλ᾽ ἄκων, ἐμοί.
ἐν τῇδε τοίνυν θἠμέρᾳ, τὸν πολλάκις
νίκην τότ᾽ αἰτῶν, ἄλλοτ᾽ αὖ λάφυρ᾽ ἄγων 245
νεὼν ἐσῆλθον, τοῦτον εἰσβαίνω τανῦν,
πάλαι στέγων εὐχήν τιν᾽ οὔτ᾽ ἄγνωτον οὔτ᾽
ἀπροσδόκητον σοί γε· καὶ γὰρ οὖν τύχῃ
ξὺν αἰσίῳ Ταύροισιν, αἰσίῳ δ᾽ ἐμοὶ
δοκῶ σ᾽ ἄγεσθαι βασιλέων πρὸς ἑστίαν. 250

ΙΦΙΓΕΝΕΙΑ.

ἢ κάρτα μεῖζον ἢ κατὰ ξένην δοκεῖ
τὸ δῶρον, ὦναξ, ὥσθ᾽ ὁρᾷς μ᾽ αἰδουμένην.
οὐδὲν γὰρ ἄλλο τῇδε προσχρῄζουσα πλὴν
σωτηρίας ἀλκῆς τε, ταῦτ᾽ εἴληφά σου.

ΘΟΑΣ.

εἰ πάντας ἄνδρας ἐννοεῖς τοὺς ἐνθάδε, 255
ὅθεν πέφυκας, κἀμὲ δὴ κρύπτειν ἀεί,
οὐκ αἰνέσαιμ᾽ ἂν τοῦτο τοὔργον οὐδαμοῦ.
στυγεῖ μὲν ἄλλους τῆσδε γῆς ἀκτὴ ξένους,
χρείας ἀνάγκῃ καὶ νόμου. πρὸς σοῦ δ᾽ ἐγώ,
ἣ τῇδε πάντων τοῖς Σκύθαις κοινωνὸς εἶ 260
ἱερῶν βεβήλων, πᾶσιν ἔντιμος ξένη,
βίον τ᾽ ἄγεις αὐτόνομον, αὐτογνώμονα,
ἐπηξίωσα πιστὸς ὢν εὐεργέτης,
ἀνθ᾽ ὧν ἔδρασά σ᾽, ἀλλ᾽ ἀληθείας τυχεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦναξ, ὀκνοῦσά γ᾽, οὐκ ἀπιστήσασά πως 265
γονέων ἐσίγων ὄνομα καὶ πάτραν ἐμὴν
ἀεὶ πρὸς ὑμᾶς· εἰ γὰρ εἰδείης μ᾽, ἄναξ,
ὅθεν γεγῶσ᾽ οἵαισιν ἐμπεπλεγμένη

ἄταις παρ᾽ ὑμῖν ἀσφαλῆ τροφὴν ἔχω,
ἦ τἄν σε δεινὸς καρδίαν πάλλοι τρόμος,
ἥν τ᾽ ἄρτι πάρεδρον ἐν θρόνοισιν ἤθελες
ἵζειν, ἄκαιρον τῆσδ᾽ ἂν ἐκπέμποις χθονός,
ἢ καὶ βιαίως, νοστίμου σωτηρίας
οὔπω φανείσης αἶαν εἰς ἐμφύλιον,
οὐ τέρμα πω κέλσασαν ἐν πλάναις πόνων
ἐς πτωχὸν ἂν ῥίψειας ἀστεργῆ βίον,
ὃς τοὺς ἀλήτας πανταχοῦ ξένης ἔπι
ψυχραῖς ἐν ἀγκάλαισιν ἰσχναίνει λαβών.

ΘΟΑΣ.

οἱ μὲν θεοὶ τί σοῦ βεβούλευνται πέρι
αὐτῆς τε καὶ τοῦ σοῦ γένους, οὐκ οἶδ᾽ ἐγώ.
ἐξ οὗ δέ γ᾽ ἡμῖν τῇδε συνναίεις χθονί,
ἱκέτις ἅπασιν ἐνδίκως τιμωμένη,
ηὔξησαν ἡμῖν ὄλβον ἄφθονον θεοί,
ὥστ᾽ οὔ τις ἂν πείσειεν εὐχερῶς ἐμέ,
λαοῖς σ᾽ ἔσεσθαι τοῖς ἐμοῖς ἀλάστορα.

ΙΦΙΓΕΝΕΙΑ.

ὄλβου δὲ μήτηρ σὴ χάρις γ᾽, οὐχ ἡ ξένη.

ΘΟΑΣ.

ἀλλ᾽ οὐ πονηρῶν γ᾽ ὀλβίους κτίζει χάρις.
λύσασα τοίνυν γλῶσσαν ἐξαύδα ποτέ,
ἄκρυψας· ἐσθλὸν πρὸς φίλους οἴγειν στόμα.
ἐπεί σε τάσδ᾽ ἔθηκεν ἐς χέρας τύχη,
οὐχ ἧσσον ἡμῖν ἢ θεοῖς ἔντιμος εἶ,
ἐγώ θ᾽ ἑτοῖμος ἂν θέλωσιν ἐκτελεῖν.
ἢν οὖν πόρῃ σοι μοῖρα νόστον ἐμφανῶς,
αὐτός σε λύσω τῶνδε τῶν ξυνθημάτων·

εἰ δ' αὖ πέφρακται πᾶσά σοι νόστων ὁδός, 295
εἴτ' ἐκπεσόντων πατρίδος τῶν σῶν φίλων
ἢ συμφοραῖς δειναῖσιν ἐξολωλότων,
ἐγώ σ' ἀπαιτῶ, ξύμμαχον καλῶν Δίκην.
πρὸς ταῦτα λέξον· οὐδὲ γὰρ ψεύσω σ' ἐγώ.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ γλῶσσα σιγήσασα τὸν πολὺν χρόνον, 300
πῶς δῆτα τλήσει δεῖν' ἀναπτύσσειν ἔπη,
ἄρρητα πρὶν στέρνοισιν ἐγκεκλημένα.
ἅπαξ γὰρ ἐκχυθέντ' ἀναστροφῆς ἄτερ
λείπουσι κρυπτὸν καρδίας ἀνάκτορον,
βλάπτοντά τ' ὠφελοῦντά θ', ὡς θεὸς θέλει. 305
ἄκουσον, ὦναξ. Ταντάλου γένους ἔφυν.

ΘΟΑΣ.

ἔκπαγλον ἐξείρηκας ἀτρέστως ἔπος.
ἦ κεῖνον εὔχει σοῦ γένους ἀρχηγέτην,
ὅνπερ γενέσθαι προσφιλέστατόν ποτε
θεοῖς λέγουσιν; ἆρα Τάνταλον λέγεις 310
τὸν αἰπυμήτην, τὸν Διὸς ξυνδαίτορα,
οὗπερ λόγοισι ποικίλοις, σοφωτάτης
ἐμπειρίας μεστοῖσι καὶ θεῶν γένος
πιστοῖσιν ὥστε θεσφάτοις ἐθέλγετο;

ΙΦΙΓΕΝΕΙΑ.

ἐκεῖνον εἶπον. ἀλλὰ θεοὺς οὐ συμφέρει 315
ἀνδράσιν ὁμιλεῖν ἐξ ἴσου βροτοῖς ποτέ.
καὶ γὰρ τὸ θνητῶν οὔ τί που σωκεῖ γένος
ἐς ὕψος ἀρθὲν ἀσφαλῆ θέσθαι βάσιν.
προδότης μὲν ἀνὴρ οὔποτ' οὐδ' ἄναγνος ἦν,
ἀλλ' εὐγενὴς ὢν οὔτε δουλεύειν ἔφυ, 320

οὔτ᾽ αὖ μεγίστῳ Ζηνὶ συνναίειν βροτός·
καὶ τοῦ μὲν ἀνθρώπεια τἀμπλακήματ᾽ ἦν,
σκληρὰ δ᾽ ἐκείνων ψῆφος· ὑμνοῦσίν γ᾽ ὅτι
ὕβρις τραπέζης Ζηνὸς ἠδ᾽ ἀπιστία
325 ἀπωστὸν αὐτὸν Τάρταρόνδ᾽ ἀπήλασαν.
καὶ πᾶς ἐκείνου γ᾽ οἶκος ἔχθεται θεοῖς.

ΘΟΑΣ.

πατρῷον ἐκτίνοντες ἢ χαὐτῶν χρέος;

ΙΦΙΓΕΝΕΙΑ.

σθένος γε μὴν ἄγναμπτον ἐν σιδηρέοις
στέρνοισι Τιτάνων τ᾽ ἀδήριτον βίαν
330 τέκνοισι κείνου μοῖρ᾽ ἐπέκλωσεν λαχεῖν.
φρένας δὲ δαίμων ἐξετύφλωσεν κακαῖς
γνώμαις, ἄποπτον ὀμμάτων τιθεὶς δίκην
καὶ τοὐπιεικὲς καὶ φρενῶν εὐβουλίαν,
λυσσῶσά τ᾽ αὐτῶν ἡπιθυμία φρεσὶν
335 μανίας ἄπειρον φοιτάδ᾽ ἐντίκτει νόσον.
Πέλοψ γὰρ εὐθύς, Ταντάλου φίλος γόνος,
βουλεύμαθ᾽ ὑψίκομπα καρδίᾳ τρέφων
μιαιφόνοις δόλοισιν εὐπρεπεστάτην
ἐκτήσαθ᾽ Ἱπποδάμειαν, Οἰνομάου κόρην,
340 ἣ τἀνδρὶ παῖδας ἀσμένῳ τίκτει δύο,
Ἀτρέα Θυέστην θ᾽· οἱ δὲ σὺν λυγρῷ φθόνῳ
κάσιν βλέποντες ἄλλον ἐξ ἄλλου λέχους
αὐτῶν κατ᾽ ἦμαρ προσφιλέστερον πατρί,
ἔχθει συναρμοσθέντες ἀγρίῳ λάθρα
345 χέουσ᾽ ὅμαιμον αἷμα πρώταρχον φόνων·
πατὴρ δέ γ᾽ Ἱπποδάμειαν οἰηθεὶς κτανεῖν

τὸν παῖδ᾽ ἀπαιτεῖ σπλάγχνα θερμανθεὶς κότῳ,
κείνη θ᾽ ἑαυτῆς χερσὶ λωβᾶται βίον.

ΘΟΑΣ.

τί δὴ σιωπᾷς; μὴ φθόνει λόγων ἐμοί.
οὔ τἄρ᾽ ἀπιστήσεις γε πιστεύσασ᾽ ἅπαξ. 350

ΙΦΙΓΕΝΕΙΑ.

ζηλωτὸς ὅστις ἧς γονῆς μεμνημένος
χαίρει, παλαιάν τ᾽ ἐν λόγων ξυναλλαγαῖς
προγόνων ἐπαινεῖ δόξαν, αὐτὸν εὐκλεῶν
ἀνδρῶν ἀριθμῷ προστιθεὶς ξὺν ἡδονῇ.
οὐ γάρ ποτ᾽ οἶκος αὐτίκα σπείρειν φιλεῖ 355
θεοῖς ὅμοιους ἄνδρας οὐδ᾽ ἀλάστορας
σπορὰ δὲ πολλῶν σωφρόνων τε καὶ κακῶν
φέρει βροτοῖς ὄλεθρον ἢ σωτηρίαν. —
πατρὸς θανόντος οἱ κασίγνητοι τέως
Ἀτρεὺς Θυέστης τ᾽ εὖ κυβερνῶσιν πόλιν 360
κοινῇ κρατοῦντες· ἀλλ᾽ ἔπειτ᾽ ἔρις κακὴ
βλαστοῦσα συγχεῖ πάντα, κἀδελφοῦ λέχος
χραίνει Θυέστης, ἧς ἀναιδείας Ἀτρεὺς
ποινὰς ἀπαιτῶν πατρίδος ἐκβάλλει κάσιν.
ὁ δ᾽ αὖ Θυέστης λυγρὰ μηχανώμενος 365
ἔργ᾽, ὃν δόλοις ἔκλεψε τἀδελφῷ πάλαι
κἄθρεψεν ὡς οἰκεῖον υἱὸν Ἀτρέως,
δεινὴν ἐρινὺν παιδὸς ἐμφύσας φρεσὶν
πόλιν σφε πέμπει πρὸς Μυκηναίων, ὅπως
ἄιδρις αὐτοῦ τὸν πατέρα κατακτάνοι. 370
φθάσας δὲ τοὔργον ὁ βασιλεὺς τὸν αἴτιον
σκληρῶς ἐτιμωρήσατ᾽, ἐλπίζων τάλας
τὸν τοῦ Θυέστου παῖδ᾽ ἀναλίσκειν φόνῳ.

τέλος δ᾽ ἀκούσας, τίς θέαμ᾽ οἰκτρὸν πατρὶ
375 βασάνοις τέθνηκεν, ἐκμανεὶς ὀργῆς ὕπο
χόλῳ τ᾽ ἀνοιστρηθεὶς νέον βουλεύεται
κἄλαστον ἔργον. ἄλγος ἐγκλήσας φρεσὶν
καὶ δὴ λελῆσθαι τοῦ πάθους δοκῶν κάσιν
παίδοιν ξὺν ἀμφοῖν πρὸς πόλιν πείθει μολεῖν,
380 καὶ συλλαβὼν τὼ παῖδε καὶ σφάξας λάθρα
στυγνὴν ἀπόπτυστόν τε τοῖς πᾶσιν βροτοῖς
δειπνοῦντι παρατίθησι τἀδελφῷ βοράν.
ὡς οὖν Θυέστης σαρκὸς ἐμπλησθεὶς τέκνων
ποθεῖ πρόσοψιν ἱμέρῳ πεπληγμένος,
385 παῖδάς τ᾽ ἐρωτῶν, εἰ πάρεισ᾽, ἤδη πάτον
φωνάς τ᾽ ἰόντων πρὸς θύραισι δωμάτων
κλύειν νομίζει, δεινὸν ἐγγελῶν Ἀτρεὺς
κεφαλὰς προβάλλει καὶ πόδας τεθνηκότων. —
θαμβοῦντά σ᾽, ὦναξ, ὅσσ᾽ ἀποστρέφονθ᾽ ὁρῶ.
390 καὶ γὰρ τόθ᾽ ἥλιος μετέστρεψεν φλόγα
ὄχον τε καινὰς εἰς ὁδοὺς χρυσήλατον.
τοιοῦδ᾽ ἄρ᾽ ἱέρει᾽ ἐκ γένους ὑμῶν ἔφυν·
πολλούς τ᾽ ἔτ᾽ ἄλλους ἀθλίων ἀνδρῶν πόνους
καὶ πολλὰ δεινά τ᾽ ἔργα λυσσώσης φρενὸς
395 κρύπτει σκοτεινοῖς εἰσαεὶ κόλποισι Νύξ,
ἑσμὸν κακῶν φαίνουσα διὰ καλυμμάτων.

ΘΟΑΣ.

κρύψον δὲ καὶ σύ γ᾽· ὡς ἐμοὶ μόχθων ἅλις.
ἀλλ᾽ εἰπέ, θαῦμα γάρ μ᾽ ἔχει, τούτου σὺ πῶς
γένους πέφυκας, ἀγανόφρων ἀνημέρου.

ΙΦΙΓΕΝΕΙΑ.

400 παῖς Ἀτρέως ἦν πρῶτος Ἀγαμέμνων, ἐμὸς

πατήρ, ὃν ἀεί — καὶ γὰρ αὐχῆσαι πρέπει
γένει γυναιξίν — ἄνδρ᾽, ἀφ᾽ οὗ πέφυκ᾽ ἐγώ,
πάντων ἄριστον ἐνδίκως ἐθαύμασα.
οὗτος Κλυταιμνήστρᾳ μιγεὶς ἔσπειρ᾽ ἐμέ,
γάμων ἀπαρχάς, εἶτα δ᾽ Ἠλέκτραν φίλην· 405
οὕτως ἄναξ θ᾽ ἕκηλος οἷς ἦρχεν δόμοις,
καὶ παῦλαν εἶχε Ταντάλου γένος κακῶν.
ὃ δ᾽ αὖ γονεῦσιν εὖχος ἦν υἱόν σφισιν
οἴκοις γενέσθαι, καὶ τόδ᾽ ἤνυσαν θεοί.
ἀλλ᾽ ὡς ἀδελφαῖν μετὰ δυοῖν ὁ φίλτατος 410
ἔθαλλ᾽ Ὀρέστης, πήματ᾽ ἐξαίφνης νέα
ἀνεῖσαν αὖθις ἀσφαλεῖ Μοῖραι δόμῳ.
καὶ γὰρ πρὸς ὑμᾶς, οἴομαι, περᾷ φάτις,
Ἑλένης ἕκατι πάντες Ἑλλάδος πρόμοι
Τροίαν κατασκάψοντες ὡς ἀνηρίθμῳ 415
πολέμου στόλῳ κατῆρξαν· εἰ δ᾽ ἤδη πόλιν
δῄων καθεῖλον καὶ κεκύρωται τέλος
ἀγῶνος αὐτοῖς, οὐ κλύω. — πατρὸς δ᾽ ἐμοῦ
ἐς Αὖλιν ἐξάραντος Ἑλλήνων στρατὸν
ἄπλοι᾽ ἐρύκει πάντας· ἡ γὰρ Ἄρτεμις 420
ἄνακτι μηνίουσα πρὸς χέρσῳ στόλον
σπεύδοντας ἴσχει· καὶ θεᾶς κελεύσμασιν
πρωτεῖα Κάλχας βασιλέως αἰτεῖ γάμων.
οἱ δ᾽ οὖν δόλοισιν οἴκοθέν μ᾽ ἀφήρπασαν
σὺν μητρί, καὶ στήσαντες ἀντίον θεᾶς 425
ὑπὲρ πυρᾶς μ᾽ ἔσφαζον· ἀλλ᾽ οὐκ ἤρεσεν
Ἀρτέμιδι τοὐμὸν αἷμα, καὶ κρύψασά με
νεφέλαισι πυκναῖς ἀπὸ φόνου δι᾽ αἰθέρα
ἐς τόνδε ναὸν ἵλεως ἐσώσατο.

430 αὐτὴν γὰρ Ἰφιγένειαν εἰσορᾷς, ἄναξ,
Ἀτρέως ἀπόγονον τήνδε κἀγαμέμνονος,
θεᾶς δὲ δούλην σοι ξυνοῦσαν ἐν λόγοις.

ΘΟΑΣ.

οὗτοι παρ' ἡμῖν πίστιν ἢ τιμήν ποτε
ξένης προέξει βασιλικοῦ γένους κόρη.
435 ὥστ' ἐμμένω νῦν οἷς τὰ πρῶτ' εἴρηκά σοι·
ἕπου μεθέξουσ' ἡμιν ὧν κεκτήμεθα.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ πῶς τοιοῦτον ἔργον ἂν τλαίην, ἄναξ;
ἢ γάρ μ' ἔσωσ' Ἀρτέμιδι πανδίκως μόνῃ
ὃς μοι πέπρωται ζῆν ὀφείλεται χρόνος.
440 αὕτη βέβαιον εὖ φρονοῦσ' ἐξείλετο
δίαιταν ἡμῖν, ἥδε καὶ ψευδωνύμοις
φόνοισιν ἐκπλήξασα φιλτάτῳ πατρὶ
γήρως μ' ἄελπτον ἐξέθρεψε χαρμονήν.
κἀγὼ διδόντων νόστον ἐς πάτραν φίλην
445 θεῶν ὑπερφρονοῦσα τὴν κείνων χάριν
ξένην ἐμαυτὴν ἐν ξένῃ δήσω χθονί;
οἰωνὸν οἶσθ' αἰτοῦσαν, εἴ μ' ἐχρῆν μένειν.

ΘΟΑΣ.

καὶ μὴν ἔχεις γ' οἰωνόν, ὅτι μένεις ἔτι.
μή τοι τοιαύτην πρόφασιν ἰχνεύσῃς λόγων.
450 ῥῆσις μάτην αἰτοῦντι τείνεται μακρά·
κλύει γὰρ οὐδὲν πλὴν τό γ' ἀρνοῦμαι μόνον.

ΙΦΙΓΕΝΕΙΑ.

οὔ τοι λόγων τεχνήματ', ἀλλὰ τἀν φρενῶν
πτυχαῖς κατεσφραγισμέν' ἐξέφηνά σοι.
ἢ οὐκ αὐτός, ὦναξ, τὴν ἐμὴν ἐπίστασαι

ψυχήν, οἵαισι τὸν τεκόντα πημοναῖς 455
οἰκτρῶς ἐρημωθεῖσα καὶ φίλους ποθεῖ,
ὅπως ἂν ἐν δόμοισιν ἀρχαίοις πατρός,
ἔνθ' ὄνομα τοὐμὸν οἶδα θρηνεῖσθαι μάτην,
νέα νεογνοῦ παιδὸς ὡς λάμψῃ χαρὰ
καὶ κίονες πρέψωσι νεοδρέπτοις κλάδοις; 460
ὦ πέμψον, ὦναξ, ναυσὶν εἰς πάτραν ἐμέ,
ἐμοί τε καινὸν πᾶσί τ' ὄρθωσον βίον.

ΘΟΑΣ.

ἄπελθε δὴ πεισθεῖσα καρδίας πνοαῖς
καὶ μή ποτ' αὖθις τῆς σοφῆς εὐβουλίας
φωνὴν ἀκούσῃς. πάντα δὴ γενοῦ γυνὴ 465
προεῖσα σαυτὴν τῇπιθυμίᾳ φέρειν,
ᾗ νῦν ἐπιζέουσα σὸν θράσσει κέαρ.
ἢν γὰρ γυναιξὶ στέρνα θερμαίνῃ χρέος,
οὐδ' εὐσέβεια σφᾶς ἀπειργάθει τὸ μὴ οὐ
προδοτῶν ἐπῳδαῖς μαλθακισθείσας λιπεῖν 470
πατρὸς βεβαίους ἢ ξυνευνέτου δόμους·
ἢν τ' ἄγριον σπλάγχνοισι κοιμηθῇ μένος,
ὅμως γε καὶ τότ' εὐμενὴς αὐτῶν μάτην
μύθοισι πειθὼ χρυσέοις ἀνθάπτεται.

ΙΦΙΓΕΝΕΙΑ.

νῦν ἧς ὑπέσχου πίστεως μέμνησό μοι. 475
οὐχ ὧδ' ἀμείψει τὴν ἐμὴν παρρησίαν·
ὡς πάνθ' ἑτοῖμός μοὐδόκεις εἶναι κλύειν.

ΘΟΑΣ.

τἀπροσδόκητα δ' οὐχ ἑτοῖμος ἦν κλύειν·
καὶ μὴν ἐχρῆν καὶ ταῦτα προσδοκᾶν μ', ἐπεὶ
ἠπιστάμην γυναικὶ συμβαλὼν λόγους. 480

ΙΦΙΓΕΝΕΙΑ.

μὴ φλαῦρον εἴπῃς ἡμέτερον, ἄναξ, γένος.
τὰ γὰρ γυναικῶν ἀρσένων μὲν ἥσσονα,
ἀλλ᾽ οὐκ ἂν αἰσχρά γ᾽ ἐνδίκως καλοῖθ᾽ ὅπλα.
τούτῳ μέν, οἶμαι, σοῦ γ᾽ ἔφυν κρείσσων, ὅτι
485 σοῦ μᾶλλον αὐτοῦ σοὶ τὰ συμφέρονθ᾽ ὁρῶ.
σὺ μὲν γὰρ οὔτε σαυτὸν οὔτ᾽ εἰδὼς ἐμὲ
οἴει γάμων ἂν εὐτυχῶν τούτων τυχεῖν,
καὐτὸς πρόθυμος ὤν τε κεὐνοῶν ἅμα
λιταῖς ὑπείκειν λιπαρεῖς ταῖς σαῖς ἐμέ·
490 ἐγὼ δὲ πολλὴν τοῖς θεοῖς ἔχω χάριν,
γνώμην ὁθούνεκ᾽ ἤνυσαν ταύτην ἐμοί,
αὐτοῖσιν οὐκ ἀρεστὸν ἀρνεῖσθαι γάμον.

ΘΟΑΣ.

οὐ θεῶν τὸ μάντευμ᾽, ἀλλὰ σῆς ψυχῆς τόδε.

ΙΦΙΓΕΝΕΙΑ.

δι᾽ ἧς γε μούνης πᾶς θεὸς μαντεύεται.

ΘΟΑΣ.

495 ἐγὼ δ᾽ ἄμοιρος τῆσδε κληδόνος κυρῶ;

ΙΦΙΓΕΝΕΙΑ.

βαιὰν γὰρ ὀμφὴν λάβρος ἔσβεσεν κλύδων.

ΘΟΑΣ.

ἡ δ᾽ ἱερία μόνη νιν ἐξεπίσταται;

ΙΦΙΓΕΝΕΙΑ.

πάντων μάλιστ᾽ ἄρχοντί γ᾽ ἔστ᾽ ἀκουστέα.

ΘΟΑΣ.

Ἀρτέμιδος ἁγνὴ παρθένος καὶ πατρόθεν
500 σύνδειπνος οὖσα Ζηνὸς ἆσσον, οἴομαι,
θεοῖς προσήκεις βαρβάρων αὐτοχθόνων.

ΙΦΙΓΕΝΕΙΑ.

ταύτην ἄρ᾽ ἔξω τῆς προθυμίας χάριν;

ΘΟΑΣ.

βροτὸς πέφυκα· κρεῖσσον οὖν παύειν λόγους.
τοιγὰρ λελέχθω τοὔπος· ἱερία σὺ μὲν
ἔσει θεᾶς τὸ λοιπόν, ἥ σ᾽ ἐξείλετο. 505
ἡμῖν δὲ τῆσδ᾽ ἄνασσα συγγνώμην ἔχοι
χώρας, τοσοῦτον εἴ νιν ἐκδίκως χρόνον
ἄκων παλαιῶν ἐστέρησα θυμάτων.
πάλαι γὰρ ἰσχύοντος ἐν Ταύροις νόμου
θνήσκειν τὸν ἀκτὴν τήνδε προσμολόντα που 510
σὺ δὴ μόνη γ᾽ εὔνοιαν ἐμφαίνουσά μοι
τοτὲ μὲν ὁμοίαν παιδὸς εὐπειθοῦς τρόποις,
τότ᾽ αὖ γαληνῷ νεογάμου νύμφης πόθῳ,
δεινοῖσι φίλτροις τήνδ᾽ ἐκήλησας φρένα,
ὥστ᾽ ἐκλαθέσθαι τῶν προσηκόντων τελεῖν· 515
τῷ σῷ τε δαρὸν ἱμέρῳ πεπληγμένος
οὐ δημόθρουν ἥκουσα βάξιν ἀρτίως
τὸν παῖδα τὸν ἐμὸν αἰτιωμένων ὅτι
πατρὸς τίνων τέθνηκε τἀμπλακήματα.
ἀλλ᾽ οὐχὶ σοῦ γ᾽ ἕκατι θυμάτων ἔτι 520
λαοὺς ἀπείρξω πᾶσι προσφιλῶν ἐμούς.

ΙΦΙΓΕΝΕΙΑ.

ἐμοῦ μὲν οὕνεκ᾽ οὐδὲν ἐξῄτησά πω.
θεοὺς δ᾽ ὃς ἂν φόνοισιν οἴηται βροτῶν
χαίρειν, ἀλᾶται τῆς ἀληθείας, ἔρον
κείνοις τὸν αὑτοῦ προστιθεὶς ἀνήμερον. 525
ἆρ᾽ οὐ πυρᾶς δέσποινά μ᾽ ἐξεσώσατο;
τὴν γὰρ λατρείαν τῆς σφαγῆς προείλετο.

ΘΟΑΣ.

οὐκ εὐπρεπὲς βροτοῖσι τόν γε κείμενον
νόμον στομάργου σὺν κακαῖς γλώσσης τέχναις
530 περισκοπεῖν τε κἀξαναστρέφειν βάθρων.
ἃ σοι προσήκει σπεῦσον· ὡσαύτως δ᾽ ἐγώ.
ἀλλ᾽ οἳ νεωστὶ πρὸς πέτραις θαλασσίαις
κρυφθέντες εὑρέθησαν οὐδὲν εὐμενὲς
φέροντες ἡμῖν κἆτ᾽ ἐλήφθησαν δορί,
535 τούτους χρόνῳ ποτ᾽ Ἀρτέμιδι θύσεις θεᾷ
τάχ᾽ ἂν βροτείων αἱμάτων θυμουμένῃ.
πέμψω δὲ δεῦρο· καὶ σὺ δὴ τἀνθένδ᾽ ὅρα.

ΧΟΡΙΚΟΝ.

ἰοχέαιρα Διὸς τέκος, Ἄρτεμις, στροφή.
ἅτε φέρεις ἀσινῆ νεφέλαισιν
540 εἰ βροτῶν τις χεῖρας ἔχων καθαρὰς
ἅτᾳ συνέζευκται κακᾷ·
τόν γ᾽ ἀνέμων ὑπὲρ οἶδμα θαλάσσας
καὶ χθόνα στερνοῦχον ἀναρπάζεις πνοαῖς
χαλκέας ὑπεκσώζουσ᾽ ἀνάγκας.
σοφὰ γὰρ αἰνῶς μαντοσύναισιν ὁρᾷς
545 σκεθρῶς τὰ μέλλοντ᾽ οὐδὲ πάροιθ᾽ ὅσ᾽ ἦν σε λάθει.
ὅσσοις δὲ προσβλέπεις ἱκέτας ἀγανοῖς,
ὡς ὅτ᾽ ὀρφναῖον σελαναίας γάνος
λευκᾷ ξὺν αἴγλᾳ γαῖαν ἀμφιχεῖται.

πότνια, χεῖρας ἐμὰς ἄπεχ᾽ αἵματος· ἀντιστρ.
550 οὐδὲ γὰρ ἀσυχίας φέρει ὄλβον·
φάσμα δ᾽ οἰκτρὸν μαψιδίως κταμένου
σπεῦδον κατ᾽ αὐθέντου στίβους

ἀεροφοῖτιν ἐγείρει ἐρινύν.
σωφρονούντων δ᾽ εὐσεβίαν θνατῶν θεοὶ
τιμῶσιν εὐρεῖαν κατ᾽ αἶαν
παντᾷ σπαρέντων, καὶ τὸν ἐφαμερίων
ἀμαυρὸν αἰῶν᾽ αἰθέριον φιλοῦσ᾽ ἀείρειν·
οὓς ἀξίους γὰρ ἀθανάτου βιοτᾶς
οὐρανοῦ θ᾽ εὕρωσιν, ἁδέως σφίσιν
χρυσαυγέων ἄστρων θέαν νέμουσιν.

B.

ΟΡΕΣΤΗΣ.

Ἅιδου πατοῦμεν ὑστάτην σαφῶς ὁδόν,
καὶ δὴ σφαδᾳσμῶν παύεται τοὐμὸν κέαρ.
ὁ Λοξίας γάρ, ἡνίκ᾽ ἐξῄτησά νιν
πομπῆς ἀπαλλάξαι με τῆς Ἐρινύων,
ἴασιν ἡμῖν κἀνακούφισιν κακῶν
ἐν τοῖς κασιγνήτης ἀνακτόροισιν, ἣ
Ταύροις ἀνάσσει, φιλτάταις ἐπ᾽ ἐλπίσιν
ὀρθοῖσι χρησμοῖς ἀσφαλῶς ὑπέσχετο.
καὶ δὴ τελεῖται πάντα· τοῖς γὰρ ἀθλίοις
πάντων ὁ θάνατός ἐστιν ἰατρὸς κακῶν.
ᾧ γὰρ κραταιὰ Μοῖρα συγχέῃ κέαρ
ψυχήν τε θραύσῃ, ῥᾴδιον τούτῳ πέλει
ἑκόντα λείπειν λαμπρὸν ἡλίου φάος.
εἰ δ᾽ ἐν μάχῃ φθονοῦσιν Ἀτρείδαις θεοὶ
τροπαῖ᾽ ἀναστήσασι πολεμίων θανεῖν,
κἄγωγ᾽ ἀτίμως, ὡς πατήρ, ταύρου δίκην

πεσεῖν ἔμελλον αἱματοσταγεῖ φόνῳ,
ἔστω· τυθῆναι τῇ θεᾷ κάλλιον ἢ
κρυφίοις θανόντα ξὺν δόλοις μυχῷ δόμου
580 ἀνδρῶν ὁμαίμων περιπεσεῖν ἀρκυστάτοις.
τέως δὲ παῦλάν γ᾽ ἡμιν, ὦ θεαί, δότε,
μηδ᾽ αἷμα μητρὸς τῆς ἐμῆς, ὃ ταῖνδ᾽ ἄπο
στάζον χεροῖν χαμᾶζε σημαίνει στίβον,
κυνηγετοῦσαι νηλεῶς θηρεύετε.
585 μέθεσθε δ᾽ ἤδη· καὶ γὰρ αὐτὸς εἶμι, μὴ
τὸ φῶς τόδ᾽ ὑμῖν μηδ᾽ ἐμοὶ λάμψῃ ποτέ.
χλωρὸν γὰρ αἴας ποικιλείμονος πέδον
ἄστειπτον εἰδώλοισιν· ἀλλ᾽ ἤδη κάτω
ὑμᾶς ματεύω, πάντας οὐ δεινῷ ζόφῳ
590 ὁμοῦ συνέργει Νυκτὸς αἰανῆς λιμήν.
Πυλάδη, μόνον γὰρ αἰτίας σὲ τῆς ἐμῆς
ἀρᾶς θ᾽ ἑταῖρον πάντ᾽ ἀναιτιώτατον
ἄκων ὁρῶ στείχοντα τήνδε δύσποτμον
στυγνὴν πορείαν, σοῦ μόνου θαρσῶ πέρι
595 δέδοικά τ᾽ εὖ πράξοντος ἢ θανουμένου.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ οὐκ ἔγωγ᾽, Ὀρέστα, σοὶ ξυμβήσομαι
ἑκὼν κατελθεῖν νερτέρων κάτω πλάκας·
σκοπῶν δ᾽ ἀεὶ ζητῶ τιν᾽ ἐν πλάνοις ὁδῶν
ἄγειν δοκουσῶν νύκτα πρὸς μελαμβαθῆ
600 ἄλυπον οἶμον εἰς βίου σωτηρίαν.
οὔ τοι μόρον δέδοικα· παπταίνω δὲ καὶ
νοῶ μόνον τοῦτ᾽, εἰ θεῶν βουλαῖσι νῷν
τερπνῆς τι μηχάνημ᾽ ἀνεύρηται φυγῆς.
ἡ γὰρ τελευτή γ᾽, εἰ φοβεῖ νιν εἴτε μή,

πρόσεισ᾽ ἄφυκτος· τοιγάρ, ἢν θεᾶς λάτρις 605
κόμης ἀπαρχὰς κρατὸς ἀποκεροῦσ᾽ ἐμοῦ
τὴν χεῖρ᾽ ὀρέξῃ, τοῦτο φροντιῶ μόνον,
ὅπως σὲ σώσω κἀμέ. καὶ σὺ δὴ δέους
ψυχὴν ἐλευθέρωσον ἐξειδὼς ὅτι
θεοῖς ἀπιστῶν θᾶσσον ἐκπλήσεις δύην. 610
προὔφηνε γάρ σοι Λοξίας νόσου τ᾽ ἄκος
ναοῖς ἀδελφῆς τοῖσδε καὶ παῦλαν πλάνης·
χρησμοὶ δ᾽ ἔχουσιν οὐ διχορρόπως θεῶν,
ὡς συμφοραῖς πληγέντες οἴονται βροτοί.

ΟΡΕΣΤΗΣ.

ἐμοὶ δ᾽ ἀφύκτοις δικτύου σπείραισιν ὡς 615
μήτηρ ἐρεμνὴν μοῖραν ἐμπλέξασ᾽ ἔχει.
οὕτως τε πατρὸς ὄψιν ἔβλαστον φέρων,
ὄσσοις ἀναύδοις μητρὶ καὶ ξυνευνέτῃ
ὄνειδος αἰὲν ἐξονειδίζων πικρόν.
αὐτὸς δ᾽ ἀδελφῇ πολλὰ σιγώσῃ τάλας 620
στέγαις ἐν ὑψηλαῖσι παρακαθήμενος
ἐν ὠλέναις ἔπτησσον Ἠλέκτρας τρέμων,
κλαίουσαν οἰκτρῶς ὄμμασιν θεώμενος
ξηροῖς ἀκλαύστοις· πολλὰ δ᾽ ἐξεμάνθανον
αὐτῆς ἀρίστου περὶ πατρὸς τόθ᾽, ὥστε νιν 625
λεύσσειν παρεῖναί τ᾽ αἰὲν ἐξήτουν θεοὺς
πέμψαντας οἴκαδ᾽, αὐτὸς ἢ Τροίαν μολών.
κἄτ᾽ ἐξέλαμψεν ἦμαρ —

ΠΥΛΑΔΗΣ.

ὦ πρὸς τῶν θεῶν,
Νυκτὸς τέκνοισι ταῦτα μυθεῖσθαι πάρες.
ἡμῖν δέ γ᾽ ἐσθλῆς ἡδονὴ κοινωνίας 630

πρὸς ἔργα κλεινὰ θυμὸν ἐξορμησάτω.
θεοὶ γὰρ ἐσθλῶν δεόμενοι ξυνεργατῶν
ἐξημεροῦντες ἀγρίας χθονὸς πέδον
καὶ σοῦ γε προσχρῄζουσι συμπονεῖν σφισιν·
ἐπεί σ' ὀπαδὸν οὐ κατήγαγον πατρί,
ἄκων ὅτ' ἐξεπέμπετ' εἰς Ἅιδου δόμους.

ΟΡΕΣΤΗΣ.

εἴθ' ὤφελον πέπλοισι προσπτυχθεὶς τάλας
κείνου συνεκπνεῦσαι τότ'.

ΠΥΛΑΔΗΣ.

ἐξέσωσ' ἄρα
δαίμων ἐμοῦ σ' ἕκατι. πῶς γὰρ ἂν βίον
σοῦ χωρὶς οἴει προσφιλῆ βλαστεῖν ἐμοί;
ἐπεὶ πότμος μοι σῆς ἄνευ ξυνουσίας
οὔτ' ἦν ἀρεστὸς μητ' ἀρεσθείην ποτέ.

ΟΡΕΣΤΗΣ.

ὦ μὴ φίλ' ἡδίστου μ' ἀναμνήσῃς χρόνου,
ὅτ' οἶκος ὑμῶν ἀνδρὶ τῷδε προὐξένει
τοῦ ζῆν τ' ἄδειαν καὶ τροφὴν ὁ σὸς πατὴρ
εὔνους παρεῖχεν, ἔρνος ὡς σώζων ξένῳ.
σύ τ' αὐτός, οἶδα, φαιδρόνους ἀεὶ κυρῶν
κούφου δίκην τέττιγος ἡλίου βολαῖς
μαρανθὲν ἄνθος περιποτωμένου φίλον
ἔτερπες, ἥβης τ' εὐπιθὲς σώζων θράσος
ἐμὴν δύης ξύνοικον εὔφραινες φρένα,
ὥστ' ἀθλίου μ' αἰῶνος ἐκλελησμένον
ξὺν σοὶ δίαυλον ἡδέως τρέχειν βίου.

ΠΥΛΑΔΗΣ.

σοὶ γὰρ ξυνεῖναι τοῦτ' ἔμοιγ' ἀρχὴ βίου.

ΟΡΕΣΤΗΣ.

ἀρχὴν μὲν οὖν ἔμοιγ' ἂν εὖ λέγοις πόνων. 655
χαλεπώτατον γάρ φημι τῶν κακῶν, ὅτι
νόσον βαρεῖαν ὥς τις ἄρθροισιν τρέφων
λαθραῖον ἐν στέρνοισι κρύπτομαι κακόν·
οἷς γὰρ προσέλθω, κἂν μάλ' ἰσχύωσι καὶ
εὐημερῶσι σωμάτων εὐεξίᾳ, 660
τάχ' ἂν καταφθίνοντας ἀλγεινῶς ἴδοις.

ΠΥΛΑΔΗΣ.

οὔκουν ἐγὼ μάλιστ' ἄν, εἰ τὸ πνεῦμά σου
ἴσχναινεν ἄνδρας, ἐξεκηράνθην μένος;
νῦν δ' οὐ γὰρ εὔφρων εἰμὶ καὶ θάρσους πλέως;
θάρσος δὲ δόξης καὶ καλῶν ἔργων βροτοῖς 665
ἔρωτα φύει.

ΟΡΕΣΤΗΣ.

καὶ τί μοι δόξης μέλει;
οἶδ' οἶδά τοι τοιαῦτά γ' ἐλπίζοντε νώ.
καὶ γὰρ κεράστην ἔλαφον ἐν νάπαισί τε
ἄκραισί τ' ἰχνεύοντες ηὐχοῦμεν λόγῳ
προγόνοις ὁμοῖοι στέρνα καὶ χέρας ποτὲ 670
τόξοις ξίφει τ' ἄγραν τε τὴν ὀρεστέραν
λῃστῶν τε φῦλ' ἀνάρσι' αἱρήσειν βίᾳ·
κἆτ' ἐν θαλάσσης θινὶ συγκαθήμενοι
πόντον βλέποντες νηνέμῳ πεσόνθ' ὕπνῳ,
λεπταῖς μόλις κλύζοντα σὺν δρόσοις πόδας, 675
ἄνω τε παμφαίνοντα κύκλον οὐρανοῦ,
τότ' ἂν πρόκωπον εὐτρεπίζομεν ξίφος,
ἐσθλῆς τε δόξης λαμπρὸν ὡς ἄστρων σέλας
ἔσαινεν ὄψιν νυκτὸς ἐκ μελαγχίμου.

ΠΥΛΑΔΗΣ.

680 πλείστοις ἀπείρων ἀνδράσιν βουλευμάτων
πόθος τις ἐμπέφυκεν. ἂν πράσσωσι γάρ,
τοσαῦτ᾽ ἐπεντείνουσι, τῶν σοφῶν ὅση
ὕμνοισι πολλοὺς καὶ μακροὺς ἐτῶν κύκλους
κατ᾽ αἶαν αὐξηθεῖσα κλῄζεται φάτις.
685 ἡδεῖα μὲν γὰρ τῶν πάλαι μνήμη χρόνων,
ὅταν πρὸς ἀστέρ᾽ ἕσπερον μολπαῖς νέοι
λίγειαν ἀνεγείρωσι φορμίγγων ὄπα·
τὰ δ᾽ ἔργα νῦν τε καὶ πάλαι τὰ τῶν βροτῶν
πόνος μάταιός ἐστι καὶ καπνοῦ σκιά.
690 χοὔτω τὰ φεύγοντ᾽ οὐ σοφῶς διώκομεν,
οὐδ᾽ ᾗ πατοῦμεν λεύσσομεν τὰ πρὸς ποσίν,
μόλις δ᾽ ἀνευρίσκοντες ὧν θαυμάζομεν
ἔργων παλαιῶν δυστέκμαρτα σύμβολα
εἴδωλα φωτῶν ἐξόχων θηρώμεθα,
695 οἳ νῦν ἄποπτοι τῆς βροτῶν θέας ἄνω
ναίουσ᾽ Ὀλύμπου χρυσότευκτα δώματα.
πρὸς ταῦτ᾽ ἔγωγ᾽ ὃς δόξαν ἢ κλέος μέγα
ζητεῖ παρ᾽ ἄλλων, τοῦτον οὐδαμοῦ λέγω·
σὺ δ᾽ ἴσθ᾽, Ὀρέστα, τοῖς θεοῖς πολλὴν χάριν
700 τοσαῦτα σῇ πράξασιν ἡβῶντος χερί.

ΟΡΕΣΤΗΣ.

ἀλλ᾽ ᾧ μὲν ἐσθλὸν δῶσ᾽ ἐπικραίνειν χρέος
ἢ πῆμ᾽ ἀποστρέψαι τι τῶν φίλων κακὸν
ἢ πατρίδ᾽ αὔξειν ἢ χθονὸς φρουρεῖν ὅρους
νικῶντα καὶ κτείνοντα πολεμίων κράτη,
705 τοῦτον πρέπει θεοῖσιν εἰδέναι χάριν
ὄλβου ποροῦσιν ἐντελῆ παγκληρίαν.

ἐγὼ δ᾽ ἄτιμος ὡς σφαγεὺς ἐξῃρέθην
μητέρα φονεύειν τὴν ὅμως φιλουμένην,
καὶ δυσσέβειαν δυσσεβεστάτῳ φόνῳ
μετιόντες αἰσχρῶς πάντα τἄμ᾽ ἀπώλεσαν. 710
δηλοῦσι δ᾽ αὐτοί· πάντ᾽ ἐρείψουσιν δόμον
τὸν Ταντάλου, χἠμεῖς ἄρ᾽ ὕστατοι γένους
πάντως ἄναγνοι κἀκλεεῖς πεσούμεθα.

ΠΥΛΑΔΗΣ.

οὐδεὶς τὰ πατρός γ᾽ αὐτὸς ὢν ἀναίτιος
ἔτισεν ἀμπλακήματ᾽· ἀλλ᾽ οἷόν τις ἂν 715
σπείρῃ στάχυν, τοιοῦτον ἐξαμᾷ θέρος.
εὔνοια προγόνων δ᾽, οὐκ ἀρὰ τελεσφόρος.

ΟΡΕΣΤΗΣ.

εὔνοια δ᾽ ἡμᾶς δεῦρό γ᾽ οὐκ ἄγειν δοκεῖ.

ΠΥΛΑΔΗΣ.

θεῶν δ᾽ ἐφετμαί γ᾽ ἐμφανῶς χρηστήριοι.

ΟΡΕΣΤΗΣ.

θεῶν ἐφετμαῖς ἄρα καὶ θανούμεθα. 720

ΠΥΛΑΔΗΣ.

πράξας ἃ προστάσσουσι μὴ τάρβει φρενί·
ἐάν τ᾽ ἀδελφὴν Λοξίᾳ φίλην ἄγων
ἐν Δελφικοῖς ναοῖσι συγκατοικίσῃς
ἄμφω πρὸς ἀνδρῶν εὐσεβῶν τιμωμένους,
τότ᾽ εὖ φρονοῦντες τῆσδέ σοι προθυμίας 725
χάριν νεμοῦσιν ἀξίαν καὶ τῶν Σκότου
παίδων σ᾽ ἀπαλλάξουσι. καὶ γὰρ οὐδὲ νῦν
τόδ᾽ εἰσβεβᾶσιν ἄλσος αἱ δειναὶ κόραι.

ΟΡΕΣΤΗΣ.

μόρον γ᾽ ἄλυπον ἄρα συγχωροῦσί μοι.

ΠΥΛΑΔΗΣ.

730 ἐμόν γ᾽ ἀμείνους ἐλπίδας τρέφει κέαρ.
καὶ δὴ τὰ μέλλοντ᾽ οὐκ ἄνευ τέχνης ἐγὼ
εὖ συντιθεὶς τοῖς πρόσθε κἀξηγούμενος
γνῶναι δοκῶ μοι τὴν θεῶν βουλὴν τάχ᾽ ἂν
εἰς ἔργον ἀκμάζουσαν. ἡ γὰρ Ἄρτεμις
735 ποθεῖ μετοικεῖν τῆσδε βαρβάρων χθονὸς
ἀπαλλαγῆναί θ᾽ αἱμάτων βροτοφθόρων.
ἡμᾶς δὲ τοῦτο τοὔργον ἐξεῖλον τελεῖν,
κᾆτ᾽ εἰκότως δὴ ταῖσιν ἐντολαῖσι νῦν
ἄγουσ᾽ ἐπ᾽ αὐτὰς τὰς θύρας τοῦ πράγματος.

ΟΡΕΣΤΗΣ.

740 οὐ μὴν ἀμούσως τῶν θεῶν βουλεύματα
αὐτός θ᾽ ἃ χρῄζεις ξυμπλέκειν ἐπίστασαι.

ΠΥΛΑΔΗΣ.

τί γὰρ βροτῶν σοφίσματ᾽, ἢν Ὀλυμπίων
ὀρθαῖσι βουλαῖς μὴ συναρμόσῃ θεῶν.
φιλεῖ μὲν ἔργον δύσφορον δαίμων βροτῷ
745 ἐσθλῷ ᾽πιτάσσειν, ὅστις ἀμπλάκῃ δίκης,
κακαῖς τε ποιναῖς ἐξαμείβεσθαι κακά.
νικῶν δ᾽ ὁ τλήμων καὶ τίνων ὅσ᾽ ἤμπλακεν
θεοῖς τε κἀν βροτοῖσιν αἴρεται κλέος.

ΟΡΕΣΤΗΣ.

εἴ μοι πέπρωται ζῆν τε καί τι δρᾶν ἔτι,
750 βαρὺν ταραγμὸν ἐξαφαιρείσθων θεοὶ
ἀχλύν τ᾽ ἐρεμνὴν κρατός, ἣ στυγνὴν ὁδὸν
ἐπιρροαῖσιν αἱμάτων πεφυρμένην
ἕλκει μ᾽ ἐς Ἅιδου δῶμα· φραξάντων δέ μοι
πηγήν γε τὴν ἄσβεστον, ἣ στέρνων ἄπο

μητρὸς καταρρέουσ᾽ ἐμὸν χραίνει δέμας. 755

ΠΥΛΑΔΗΣ.

ἐπίσχες, ὦ τάν· καὶ γὰρ αὐξάνεις δύην
αὐτός γ᾽ ὑπουργῶν ἐντολαῖς Ἐρινύων.
βουλὴ δ᾽ ἐμοὶ μέν, σοὶ δέ γ᾽ ἥσυχον πρέπει
μένειν· ὅταν δὲ συμμάχους τοὔργον ποθῇ,
τότ᾽ αὖ καλῶ σ᾽, ἑταῖρε, καὶ θρασεῖς θ᾽ ἅμα 760
καὶ σωφρονοῦντες ἂν δέῃ ποιήσομεν.

ΟΡΕΣΤΗΣ.

Ὀδυσσέως λέγοντος οἴομαι κλύειν.

ΠΥΛΑΔΗΣ.

μὴ σκῶπτ᾽, Ὀρέστα. πᾶς γὰρ αἱρεῖται τινὰ
φωτῶν παλαιῶν, εἰς ὃν ἀστρόφοις βλέπων
ὄσσοις τὸν εἰς Ὄλυμπον ἐξορθοῖ δρόμον. 765
μῆτις δ᾽ ἐμοὶ μὲν οὐδὲ ποικίλοι δόλοι
ἐσθλοῦ δοκοῦσιν ἀνδρὸς αἰσχύνειν κράτος.

ΟΡΕΣΤΗΣ.

ἐμοὶ δ᾽ ἀρέσκει πιστὸς εὐθαρσής τ᾽ ἀνήρ.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ οὐδὲ δεῖ τι σῶν τανῦν σοφισμάτων.
αὐτὸς γὰρ ἤδη πρᾶγμα προσκοπῶν τόδε 770
φυλάκων πέπυσμαι πολλὰ καὶ θαυμάστ᾽ ἔπη.
ξένην γυναῖκ᾽ ἥκουσα προσφερῆ θεοῖς
δήσασαν ἴσχειν τῇδε τὸν λυγρὸν νόμον,
εὐχαῖς δέ φασι θυμιαμάτων μέτα
καθαραῖς ἀφ᾽ ἁγνῶν στηθέων τιμᾶν θεούς. 775
λαοὶ δὲ πρεσβεύουσί νιν λέγοντες, ὡς
κλεινῆς γεγῶσα τῆς Ἀμαζόνων γονῆς
πάτρας πέφευγε θόρυβον ἐκφοβουμένη.

ΟΡΕΣΤΗΣ.

ἀλλ' ηὖμένεια κατθανεῖν αὐτῆς δοκεῖ
ἀλάστορος στυγναῖσι προσβολαῖσιν, ὃν
Ἅιδου σκοτεινοῖς δικτύοις ἀρὰ στέγει.
καὶ δὴ δεθέντα γ' εὐσέβεια δυσσεβὴς
ἡμᾶς ὀλοῦσ' ἔλυσεν ἀρχαῖον νόμον,
ψήφῳ τ' ἄνακτος ἀγρίᾳ θανούμεθα·
κείνου δὲ μηνίοντος οὐ σώσει γυνή.

ΠΥΛΑΔΗΣ.

ἀνδρῶν γε μᾶλλον, ἴσθι. τῶν γὰρ ἀρσένων
χὠ τἄλλ' ἄριστος πρὸς τὸ νηλεὲς τάχα
μεταρρυθμίζων τὴν φύσιν τέλος νόμον
τίθησιν ἂν τὸ πρῶτον αἰσχυνθῇ ποιεῖν,
φρόνημά τ' ὀξύθυμον ἀλλάξας ἔχει.
ἢν δ' ἂν γυνὴ δείξῃ ποτ' ἐξ ἀρχῆς φρένα
ῥᾷον κατέσχεν, ὥστε κἀσφαλεστέρα
ἐσθλοῖσίν ἐστι κἂν κακοῖσι σύμμαχος.
ἀλλ' ἥδε γὰρ πρόσεισιν, ἐκχώρει, φίλε.
οὐ γάρ νιν ἡμῶν τὴν τύχην καὶ τοὔνομα
χρεὼν παραυτίκ' εἰδέναι· νῦν οὖν ἄπει,
εἶτ' ἢν δέῃ σοῦ, δεῦρό σ' ἐκκαλῶ πάλιν.

ΙΦΙΓΕΝΕΙΑ.

πόθεν γεγώς, ὦ ξεῖνε, δεῦρ' ἥκεις, φράσον.
ὡς φωτὶ μᾶλλον τοὺς τρόπους Ἑλληνικῷ
ὄψιν τ' ἔοικας ἢ Σκύθῃ τῶν ἐνθάδε. —
τὰ δεσμά σοι λύουσα κίνδυνον φέρω·
θεοὶ δ' ἀποστρέψειαν ἂν βλάβην ἔχῃ.

ΠΥΛΑΔΗΣ.

ὦ φθέγμ᾽ ἄελπτον σὺν πόθῳ τ᾽ ἐμοὶ φανέν,
γλώσσης πατρῴας φθόγγος ἐν ξένῃ χθονί.
νιφοστιβῆ γὰρ καίπερ αἰχμάλωτος ὢν 805
αὖθις δοκῶ μοι πατρίδος εἰσιδεῖν ὄρη
πορθμὸν σκιάζοντ᾽ εὐρὺν Αἰγαίας ἁλός.
χἠμᾶς ἄρ᾽ ἴσθ᾽ Ἕλληνας ὄντας, ὦ γύναι.
χρόνον γε μήν τιν᾽ ἐκλελησμένος, σέθεν
χρείαν ὅσην νῦν ἔχομεν, ὀφθαλμοὺς χαρᾶς 810
πασῶν ἔπλησα γλυκυτάτης σὲ προσβλέπων.
ἀλλ᾽ εἴ σε μή τις αἶσ᾽ ἀναγκάζει στόμα
τὸ σὸν κατασχεῖν, εἰπέ μοι, τῶν Ἑλλάδος
τίνος πέφυκας θεοφιλεστάτη γένους;

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ οἶσθα γάρ πως προσπόλῳ ξυνὼν θεᾶς 815
αὐθαιρέτῳ τε δεῦρό τ᾽ ἐξῳκισμένῃ,
μηδέν μ᾽ ἔρῃ γ᾽ ἄρρητον· ἀλλ᾽ αὐτὸς φράσον,
τίς ὢν ὁποίαις συμπεσὼν ξυναλλαγαῖς
σὺν τοῖς ἑταίροις ἦλθες ἐς Ταύρων χθόνα.

ΠΥΛΑΔΗΣ.

οὐδεὶς τὰ πάντα σοι διηγεῖσθαι φθόνος, 820
ποίας βαρεῖα πημονῆς ξυνουσία
ἡμᾶς διώκει. καὶ σὺ δ᾽ εἴθ᾽ ἡμῖν σθένοις,
ἄνασσα, φαίνειν ἐλπίδος φίλον φάος.
πεφύκαμεν δὴ Κρῆτες, Ἀδράστου τέκνα·
κἄμοιγε Κέφαλος ὄνομα τῷ νεωτέρῳ· 825
ὁ δ᾽ αὖ κάσις μου Λαοδάμας παντὸς γένους
πρέσβιστος· οἴκῳ δ᾽ ἄλλος ἔβλαστεν μέσος
δύσφρων γε νῷν ἀδελφός, ὃς κακῷ φθόνῳ

10124150

830

835

840

845

850

855

ΙΦΙΓΕΝΕΙΑ.

ὦ ξεῖνε, τῆς σῆς ξυμφορᾶς μὴ φροντίσῃς,
πρὶν ἂν τύχω ᾽γὼ τῶν σε προστρέπω φράσαι.

ΠΥΛΑΔΗΣ.

ἄκουε τοίνυν· ἢ κύκλους ἐτῶν δέκα
ἀντεῖχεν Ἀργείοισι σύμπασιν πόλις
ὄλωλεν ὥστε μηκέτ᾽ ἀντέλλειν πάλιν. 860
πολλοὶ δὲ καὶ τῶν Ἑλλάδος πρόμων τάφοι
πιμπλᾶσιν ἀκτῆς πάντας ἐχθίστης πόθου.
κρύπτει δ᾽ ἐκεῖ γῆ σὺν φίλῳ γ᾽ Ἀχιλλέα.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ θεῶν ἀγάλματ᾽, εἰς σποδὸν τετραμμένα.

ΠΥΛΑΔΗΣ.

οὐδ᾽ αὖ Παλαμήδης οὐδ᾽ ὁ Τελαμῶνος γεγὼς 865
Αἴας ἐσεῖδον ἡμέραν νόστου ποτέ.

ΙΦΙΓΕΝΕΙΑ.

πατρὸς δὲ σιγᾷ τὴν τύχην, οὐδ᾽ εἶπέ νιν
ἐν τοῖς ἀναλωθεῖσι· δῆλός ἐσθ᾽ ὅτι
εἴληχε νόστον κἄτι μοι φανήσεται.

ΠΥΛΑΔΗΣ.

εὐδαίμονες δὲ πάντες, εὐκλεεστάτῳ 870
ὅσοι μόρῳ τεθνᾶσι πολεμίων χερί.
ἐξαισίους γὰρ τοῖς κατελθοῦσιν πόνους
αἰσχρόν τε θάνατον ἀντὶ νικητηρίου
πομπῆς ἔτευξαν δαίμονες παλίγκοτοι.
τί δ᾽; οὔποθ᾽ ὑμῖν χρίμπτεται θνητῶν φάτις; 875
ἦ γὰρ πλανᾶται, κληδόνα σπείρει βροτοῖς
ἔργων ἀνηκούστων τε καλλιτηρίων.
ἢ καὶ Μυκηνῶν γ᾽ ἢ δόμους δυσχειμέρων

στεναγμάτων ἔπλησεν ἄρρητος δύη
880 ἄγνωτος ὑμῖν; καὶ Κλυταιμνήστρα γ᾽ ἔτι
ἄπυστος ὡς δόλοισιν Αἰγίσθου μέτα
εὐθὺς κατελθόντ᾽ εἰς πάτραν κτείνει πόσιν; —
σέβειν ἔοικας βασιλέως κείνου κάρα·
μόχθοις γὰρ ἀθρῶ σὸν κέαρ πεπαλμένον
885 ἀπροσδοκήτῳ δειματουμένης λόγῳ.
ἆρ᾽ ἀστυγείτων ἦν σ᾽ ὁ φιτύσας πατὴρ
ἢ καὶ δορύξενός τις Ἀτρειδῶν γένει;
μή τοί με κρύψῃς μηδὲ μηνίσῃς, ὅτι
πρῶτος φέρω σοι τῆσδε συμφορᾶς φάτιν.

ΙΦΙΓΕΝΕΙΑ.

890 πῶς δὴ τοσοῦτον ἔργον εἴργασται; λέγε.

ΠΥΛΑΔΗΣ.

ἧπερ κατῆλθεν οἴκαδ᾽ ἡμέρᾳ στρατός,
λουτροῖσι φαιδρύνασα δεσπότην δόμου
αἰτοῦντα πέπλον ἐκ γυναικείων χερῶν
ἄπειρον ἀμφίβληστρον ἢ πανώλεθρος
895 δολίας ἀράχνης ὡς ὕφασμα ποικίλον
περιστιχίζει, πλοῦτον εἵματος κακόν.
ἐπεὶ δ᾽ ἐκεῖνος μορσίμοις ἀγρεύμασιν
ἁλοὺς μάτην ἥσπαιρεν ἰχθύος δίκην,
παίει λαθὼν σφ᾽ Αἴγισθος, ἓς θ᾽ Ἅιδου κάτω
900 στείχει πέπλῳ καλυπτὸς Ἀγαμέμνων ἄναξ.

ΙΦΙΓΕΝΕΙΑ.

μισθὸν δὲ ποῖον ἔσχεν ὁ ξυνωμότης;

ΠΥΛΑΔΗΣ.

ἀρχήν τε λέκτρα θ᾽, ὧν πάλαι κοινωνὸς ἦν.

ΙΦΙΓΕΝΕΙΑ.

ἔρωτ᾽ ἄρ᾽ αἰσχρὸν αἰτίαν φόνου λέγεις;

ΠΥΛΑΔΗΣ.

καὶ πρὸς παλαιῶν γ᾽ ἐργμάτων ἀλάστορα.

ΙΦΙΓΕΝΕΙΑ.

ποίαις δ᾽ ἐγείρει τοῦτον αἰκίαις ἄναξ;

ΠΥΛΑΔΗΣ.

δεινοῖς ξὺν ἔργοις, ὥστ᾽ ἄν, εἰ σκῆψιν φόνος
εἶχεν, δικαίως ἥδε γ᾽ ἦν ἀναιτία·
δολίοισι γὰρ μύθοισιν Αὐλίδ᾽ ἤγαγεν,
κἀπεὶ θεῶν τις τὸν Πανελλήνων στόλον
δεινῶν κατεῖχε πνευμάτων ἀήμασιν,
τότ᾽ Ἰφιγένειαν θυγατέρων γεραιτέραν
σώσων Ἀχαιοὺς φοινίῳ προσφάγματι
Ἀρτέμιδος ἐν βωμοῖσιν ἔκτεινεν ξίφει·
καὶ τοῦτό φασι τοὔργον ἐντεκεῖν κότον
ἀμείλιχον γυναικί, καὶ πεπεισμένη
ἄλλου λόγοισιν ἀνδρὸς εἶτ᾽ αὐτὴ πόσιν
ἔφραξ᾽ ἀφύκτοις πημονῆς ἀρκυστάτοις.

ΙΦΙΓΕΝΕΙΑ.

αὖθίς μ᾽ ἐσόψει· νῦν δ᾽ ὁ σός γ᾽ ἀρκεῖ λόγος.

ΠΥΛΑΔΗΣ.

τί φῶ;
ᾤκτειρεν ἡ νεᾶνις οὐ διχορρόπως
τύχας Ἀτρειδῶν· ἥτις οὖν ἐστιν, δόμους
εἶδέν ποτ᾽ αὐτὴ Πελοπιδῶν, δοκεῖν ἐμοί,
κἀξ ὀλβίων γεγῶσα σὺν τύχῃ γε νῷν
εἰς τήνδ᾽ ἐπράθη γαῖαν· ἀλλ᾽, ὦ καρδία,

ἐσθλῆς φανείσης ἐλπίδος μέν᾽ ἥσυχος,
ἵν᾽ οὐρίοις πλεύσωμεν ἐν καιρῷ πνοαῖς.

Γ.

ΙΦΙΓΕΝΕΙΑ.

δεσμῶν ἀεικέων, ὦ τάλας, λύουσά σε
ἀλγίον᾽ ἤδη σφῷν προσημαίνω τύχην.
ἦ γάρ σ᾽ ἄδεια πρὸς θεᾶς σαίνει δόμῳ,
ὡς λοίσθιον θνήσκοντος ὀμμάτων σέλας,
πρόμαντίς ἐστι πλησιάζοντος μόρου.
καίτοι τανῦν μὲν οὐδέπω τολμῶ λέγειν,
ὡς ἀποθανεῖσθον· πῶς γὰρ ἂν δυναίμεθα
φίλας μιαίνειν χεῖρας Ἑλλήνων φόνῳ;
ἄλλος δ᾽ ἂν οὐδείς, ὅστις ἔσθ᾽, ἕως ἐγὼ
ἔχω λατρείαν ἐνθάδ᾽ Ἀρτέμιδος, θιγεῖν
ὑμῶν ἀνάσχοιτ᾽· ἢν δ᾽ ἀναίνωμαι τὸ δρᾶν
ὀργήν τ᾽ ἐγείρω τῆσδε κοιράνῳ χθονός,
τῶν παρθένων τ᾽ ἄλλην τιν᾽ ἀντ᾽ ἐμοῦ λάτριν
θεᾶς ἕληται, τηνικαῦτ᾽ εὐχαῖς μόνον
ὑμῖν ἀρήγειν ἱκεσίοις δυνήσομαι.
ὦ ξεῖν᾽, ἐπεὶ καὶ δοῦλος οὐδὲν ἄξιος
ὃς θεῶν πατρῴων ἐσχάρας ψαύσῃ ποτέ,
μείλιγμα τερπνὸν ἐν ξένῃ πέλει χθονί,
πῶς ἄν ποθ᾽ ὑμᾶς ἡδονῆς καταξίως
ἐμῆς δεχοίμην, οἵ γε τῶν κλεινῶν ἐμέ,
οὓς προσκυνοῦσ᾽ ἔχειρον ὡς ἀγάλματα,
φωτῶν ἀναμνήσαντες ἐλπίσιν φρένας
νέαις ἀέλπτων ἡδονῶν εὐφραίνετε.

ΟΡΕΣΤΗΣ.

ἆρ᾽ ἐκ προνοίας ὄνομα καὶ γένος τὸ σὸν
κρύπτεις πρὸς ἄλλους; ἢ εἰδέναι κἀμοὶ θέμις,
ἥτις θεαῖσιν ἐμφερὴς ἡμῖν σύνει;

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ αὐτίκα γνώσει με· νῦν δ᾽ ἔτ᾽ εἰπέ μοι,
ὧν παῦρ᾽ ἀκούω σοῦ κασιγνήτου πάρα,
ἀνδρῶν τελευτάς, οὓς θεοὶ Τροίας ἄπο
νοστοῦντας οἰωνοῖσι δυστυχεστάτοις
πρὸς γῇ πατρῴᾳ δυσκλεῶς ἀπώλεσαν.
νέα μὲν ἐς τήνδ᾽ εἰσαφικόμην χθόνα·
ἀλλ᾽ οἶδα καὶ νῦν, ὡς τρέμουσα δείματι
ὄκνῳ τε θάμβει τ᾽ ὄψιν ἐκπεπληγμένη
κείνους προσεῖδον ἐκ πάτρας ὁρμωμένους.
τὸν γὰρ θεῶν Ὄλυμπον ᾠόμην λόχους
ἀνδρῶν παλαιῶν εἰς ἅλωσιν Ἰλίου
πέμψαι πρὸς αἶαν τῶν ἀεὶ θρυλουμένων.
πάντων δέ γ᾽ ἦν μέγιστος Ἀγαμέμνων ἄναξ.
κάτειπε δ᾽ αὖθις· ἆρα πρὸς δόμους μολὼν
δάμαρτος Αἰγίσθου τ᾽ ἀνῃρέθη δόλοις;

ΟΡΕΣΤΗΣ.

ὀρθῶς ἔλεξας.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ Μυκηναίων τύχαι.
ἔσπειρεν ἆρα Ταντάλου στυγνὸν γένος
βαθεῖαν ἄτης ἄλοκα μαργώσῃ χερί·
ὥσπερ δ᾽ ἀχρήστου πολλάκις πόας πέδον
βρύει μάλιστα σπερμάτων εὐκαρπίᾳ,
οὕτως ἐκείνων παισὶ καὶ παίδων γόνοις

φονέων ὁμαίμων πλῆθος ἐξέφυσ᾽ ἀρά.
ἃ δ᾽ ἐκλέλησμαι τῶν κασιγνήτου λόγων
975 πεπαλμένη φόβοισιν, αὖθις εἰπέ μοι.
πῶς ὕστατον βλάστημα τοῦ κλεινοῦ γένους
ἥδιστον ἔρνος, πατρὶ τιμωρὸς φόνου
μέλλων ἔσεσθαι, πῶς τότ᾽ αὐθαίμων σφαγὰς
ἔφευγ᾽ Ὀρέστης; ἆρα κἀκεῖνον τύχη
980 Ἅιδου δυσεκλύτοισιν ἀγρεύει πέδαις,
ἢ ζῆν μὲν αὐτόν, ζῆν δ᾽ ἔτ᾽ Ἠλέκτραν λέγω;

ΟΡΕΣΤΗΣ.

λέγοις ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ χρυσοῖσιν ἐμβεβὼς δίφροις
ἥλιε, φαενναῖς ἀντ᾽ ἐμοῦ βωμὸν Διὸς
αὐγαῖσι φλέξον· ὡς ἄδωρός εἰμ᾽ ἐγώ.

ΟΡΕΣΤΗΣ.

985 ἀλλ᾽ εἰ ξένη πέφυκας Ἀτρειδῶν δόμῳ
ἢ σοι προσήκει Πελοπίδαις τι συγγενές,
ὁρῶ γὰρ ἀστράπτουσαν ἐξ ὄσσων χαράν,
κοίμα γαλήνῃ κύμαθ᾽ ἡδονῆς ἔτι.
χαίροντι γὰρ δύσοιστον ἐξαίφνης πάλιν
990 εἰς τὰς παλαιὰς ἐμπεσεῖν ἀλγηδόνας.
ἆρ᾽ οἶσθα μοῦνον τὸν Ἀγαμέμνονος μόρον;

ΙΦΙΓΕΝΕΙΑ.

οὐ γὰρ τοσούτων πημάτων ἀρκεῖ φάτις;

ΟΡΕΣΤΗΣ.

μέρος γ᾽ ἀκούεις τῶν μιασμάτων βραχύ.

ΙΦΙΓΕΝΕΙΑ.

τίς δ᾽, ἢν Ὀρέστης ζῶσι χἠ κάσις, φόβος;

ΟΡΕΣΤΗΣ.

καὶ τάρβος οὐδέν σοι Κλυταιμνήστρας πέρι; 995

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ οὔτ᾽ ἂν ἐλπὶς οὔτε νιν σώζοι δέος.

ΟΡΕΣΤΗΣ.

καὶ γὰρ μετῴκησ᾽ εἰς ἀνέλπιστον κνέφας.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλγοῦσ᾽ ἄρ᾽ οἷς ἔδρασεν αἱμάσσει χρόα;

ΟΡΕΣΤΗΣ.

οὔκ, ἀλλ᾽ ὁμαίμων χεῖρες ἐκπράσσουσί νιν.

ΙΦΙΓΕΝΕΙΑ.

σαφέστερόν πως εἰπέ, μή μ᾽ ἕλῃ δέος. 1000

καὶ γάρ μ᾽ ἐρεμνοῖς πάντοθεν πτεροῖς κάρα
παίει φοβοῦσ᾽ ἄγνοια τῶν πεπραγμένων.

ΟΡΕΣΤΗΣ.

ἔπεμψαν ἄρά μ᾽ οἱ θεοὶ κακάγγελον
κήρυκα φήμης πρὸς σὲ δυσσεβεστάτης,
ἣν ἡδέως κρύψαιμ᾽ ἂν ἐς μελαμβαθῆ 1005
Ἅιδου κάτω κευθμῶνα· νῦν δ᾽ ἄκοντα μὲν
προὔτρεψας εἰπεῖν, ἀλλὰ κἀλγεινὸν χρεὼν
αἰτουμένῃ σοι πάντα πειθαρχεῖν ἐμέ.
πατρὸς θανόντος τὴν μὲν αὐτίχ᾽ ἡμέραν
κλέψασα σώζει τλήμον᾽ Ἠλέκτρα κάσιν· 1010
ἔπειτα δ᾽ αὐτὸν εὐμενῶς ἐδέξατο
Στρόφιος ὁ Φωκεύς, καὶ φίλου παιδὸς μέτα
Πυλάδου νιν ἐξέθρεψεν, ὃν νέον νέῳ
εὔνοια δεσμοῖς φιλτάτοις ξυνήρμοσεν.
ὁμοῦ δὲ βλαστάνοντας ἐξορμᾷ μένος
ἄνακτος αἰσχρὸν ἀντιτίσασθαι μόρον· 1015

ἀπροσδόκητοι δ᾽ ἐν ξένων πεπλώμασιν
εἰς τὰς Μυκήνας ξὺν λόγοις πλαστοῖσιν, ὡς
τέθνηκ᾽ Ὀρέστης, ἦλθον, ἐν χερσὶν κύτος
1020 σποδοῦ φέροντες· ἀσμένη δ᾽ ἀσπάζεται
ξένους ἄνασσα καὶ δόμων ἔσω σφ᾽ ἄγει.
ἡ δ᾽ ὡς παρόντ᾽ ἀδελφὸν Ἠλέκτρα σαφῶς
ἤκουσεν, ἔχθραν εὐμενεῖ παρουσίᾳ
ὄψει τε μητρὸς ἀρτίως πεπαυμένην
1025 ὀξεῖαν ἐξήγειρε καὶ πικρὰν φλόγα.
σιγῶσ᾽ ἄγει νιν πρὸς μυχούς, ἐν οἷς πατὴρ
ἐμασχαλίσθη, φονολιβής τε πρὸς πέδῳ
κηλὶς παλαιῶν ἡμίλουτος αἱμάτων
βλοσυροῖσι χραίνει τοὔδαφος σταλάγμασιν.
1030 καὶ δὴ φλέγοντ᾽ ἀφεῖσα καρδίας βέλη
σφαγὴν ἐλεινὴν ἐξακριβοῦται λόγῳ
αἰσχράν θ᾽ ἑαυτῆς δουλικήν τ᾽ ἄγαν τροφὴν
ὕβριν τε προδοτῶν ἐν χλιδαῖς ὀγκουμένων,
ὅσοις τε κινδύνοισι τῶν γ᾽ αὐτῆς τέκνων
1035 μήτηρ ἀμήτωρ περιβαλοῦσ᾽ ἔχει βίον.
ἔπειτα δ᾽ οἱ μάχαιραν εἰσεχείρισεν,
ἣ καὶ προτοῦ ᾽ξήμησε Ταντάλου γένος,
θνήσκει τε παιδὸς ἀθλίου μήτηρ χερί.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ τὸν φαεννὸν αἰθέρ᾽ οἰκοῦντες θεοὶ
1040 καὶ τὴν ἐν ἄστροις οὐρανοῦ λαμπρὰν πλάκα,
τί δή ποθ᾽ ἡμᾶς πολλὰ τῇδ᾽ ἐσώσατε
ἔτη βροτῶν ἄπωθεν, ἠδ᾽ ὑμῶν πέλας
ἐθρέψαθ᾽, ἱρὰν παρθένῳ τε σύμμετρον
δόντες λατρείαν, ἔμπυρον βωμοῦ σέλας

τελεταῖς ἀναίθειν, ὥσπερ εὐώδη φλόγα 1045
ψυχὴν ἐν ἁγνῇ θεοσεβεῖ τ᾽ ἐρημίᾳ
τέγξαντες εἰρήνης τε κοὐρανοῦ πόθοις,
εἰ τἀμπλακήμαθ᾽ ὕστερον τοὐμοῦ γένους
θρηνεῖν γ᾽ ἔμελλον οὐδὲν ἧσσον; — ἀλλά μοι
κάτειπ᾽ Ὀρέστου τοῦ παναθλίου τύχας. 1050

ΟΡΕΣΤΗΣ.

εἴθ᾽ ὤφελεν θανεῖν γε τῇ τόθ᾽ ἡμέρᾳ.
καὶ γὰρ φόνου κηκῖδος ἐκ ποταινίου
φάντασμα δεινὸν μητρὸς ἐξανίσταται
καλεῖ τε γραίας Νυκτὸς ἐγκότους κόρας
θηρᾶν κελεῦον καὶ κατισχναίνειν δρόμοις 1055
τὸν μητροφόντην νηλεῶς τ᾽ ἀπολλύναι.
τῆς δ᾽ εὐθὺς αἱ δεινῶπες ἐκπεπεισμέναι
λόγοισι μαστεύουσιν αἰετῶν δίκην
τὸν θῆρ᾽ ἀπ᾽ ἄντρων νερτέρων ποτώμεναι·
ὁμοῦ τ᾽ ἐκείναις ἐκ χθονὸς μυχῶν φανεὶς 1060
ταραγμὸς ἕρπει κἀνακίνησις φρενῶν.
ἀτμὸς δ᾽ ἰουσῶν ὥσπερ Ἀχέροντος πρέπει,
ἀγρίαις τε πλεκτάναισι δινεῖται καπνοῦ
πνοαῖς ὁμοία καὶ φρένας μητροκτόνου
στροβοῦσα μεταμέλεια τῶν πεπραγμένων. 1065
οὕτως φέρουσαι δωμάτων κατασκαφὰς
θεοσπόρου πατοῦσι γῆς αὖθις πέδον,
ὅθεν παλαιὰ θεῶν ἀρά σφ᾽ ἀπῴκισεν.
ταχεῖ δὲ τὸν φεύγοντα θηρῶσαι ποδὶ
εὕδουσιν οὔποτ᾽ οὐδὲ λήγουσιν κότου. 1070

ΙΦΙΓΕΝΕΙΑ.

ταὐτὸν σὺ πῆμα δῆλος εἶ παθών, τάλας,

καὶ ξυμμετίσχων τἀνδρὶ τῶν μοχθημάτων.

ΟΡΕΣΤΗΣ.

πῶς ξυμμετίσχων; καὶ τί πῆμά μοι λέγεις;

ΙΦΙΓΕΝΕΙΑ.

φόνος σ᾽ ἐλαύνει συγγενής, ὡς ὃν σὺ φής·
δηλοῖ δ᾽ ἀδελφὸς ταῦτα πάνθ᾽ ἡμῖν ὁ σός.

ΟΡΕΣΤΗΣ.

ἀλλ᾽ οὐχ οἷόν τ᾽ ἔμοιγε, γενναία γύναι,
κακαῖς σ᾽ ὁρᾶν τέχναισιν ἠπατημένην.
ψευδῶν ὕφασμα ποικίλον πανουργίαις
ἀνὴρ συνεῖναι καὶ δόλοις εἰθισμένος
λάθρα πρὸς ἄνδρας δυσμενεῖς ὑφαινέτω·
ἐσθλοῖς δ᾽ ἀλήθει᾽ εἰσαεὶ πρέπει λόγων.
ὁρᾷς Ὀρέστην τῶν φίλων ἀλάστορα·
τάφου ποθῶν οἴκησιν ἐς θ᾽ Ἅιδου ῥέπων,
ὅπως ἂν ἔλθῃ, τὸν μόρον προσίεμαι.
καὶ σοὶ μέν, ἥτις εἶ ποτ᾽, ὦ γύναι, θεοὺς
εὔσοιαν αἰτῶ τῷ φίλῳ τ᾽, ἀλλ᾽ οὐκ ἐμοί.
ἀφέντες οὖν ἔμ᾽ ἐνθάδ᾽, ἔνθ᾽ ἄκουσα σὺ
ναίεις, φυγῆς τι μῆχαρ ἐκφροντίζετε.
νέκυν δ᾽ ἐμὸν μὲν εὔχομαι κρημνῶν κάτα
ἁλὸς πεσεῖν ἐς βένθος, αἱμάτων τ᾽ ἐμῶν
ῥοὰς ὄλεθρον βαρβάρων φέρειν χθονί,
σφὼ δ᾽ οἴκαδ᾽ αὖθις φιλτάτην ἐς Ἑλλάδα
πλεύσαντε μοίρας ὀλβιωτέρας τυχεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

τελεσφόρ᾽ Ἐλπίς, Ζηνὸς ὑψίστου κόρη,
ἥκεις φέρουσα τῶν ἐμῶν εὐχῶν τέλος.
θαμβῶ δ᾽ ἄπειρον εἰσορῶσ᾽ ἄγαλμα σόν·

μόλις γὰρ ὄψις σαῖν ἐφάπτεται χεροῖν,
αἳ καρπίμοις φύλλοισιν ἐξεστεμμέναι
λαμπρὸν φέρουσιν ὄλβον οὐρανοῦ βροτοῖς.
ὡς δ᾽ ἂν ζαπλούτοις δωρεαῖς γνοίης μέγαν 1100
ἄνακτα χώρας — παῦρα γὰρ τούτῳ δοκεῖ
ἃ τοῖσιν ἄλλοις ἄσπετος παμπησία —,
οὕτως ἄρ᾽ ὑμᾶς, ὦ θεοί, γιγνώσκομεν
πρὸς καιρὸν ἐκτελοῦντας ἂν εὐξώμεθα.
μόνοι γὰρ ὑμεῖς ἴσθ᾽ ἃ συμφέρει βροτοῖς, 1105
καὶ τῶν ἔπειτ᾽ ἄβυσσα λεύσσοντες βάθη·
ἡμεῖς δ᾽ ἐρεμνῷ συγκεκρυμμένοι νέφει
ὑπὸ σκότῳ καθήμεθ᾽ οὐδὲν εἰδότες.
τοιγὰρ ταχύνειν νηπίαις αἰτουμένων
γνώμαις ἕκηλοι μὲν βροτῶν ἀκούετε, 1110
ἀλλ᾽ οὐκ ἄκαιρον ἐξαμᾶτ᾽ ὄλβου θέρος·
ὕβριν δὲ μισεῖτ᾽ ἀνδρός, ὃς θερμῶς ἄγαν
καρπὸν δρέπων ἄδρεπτον ἄρνυται μόρον.
καὶ νῦν ἐπεὶ τὴν δαρὸν ἐξῃτημένην
χάριν πρὸς ὑμῶν σὺν χρόνῳ γ᾽ ἐκτησάμην, 1115
μή τοί σφ᾽ ὀνείρων προσφερῆ μορφώματι
ἐξαρπάσητε τῇ τρισαθλίᾳ πάλιν.

ΟΡΕΣΤΗΣ.

εἰ ταῦθ᾽ ὑπὲρ σοῦ τοῦ φίλου τ᾽ εὔχει θεοῖς,
πάρες τό γ᾽ ἀμὸν ὄνομα μηδὲ προστίθει.
οὐ γάρ ποτ᾽ ἐκσώσεις σὺ τὸν ἀλιτήριον 1120
φίλη παραστᾶσ᾽, ἐξολεῖ δ᾽ αὐτοῦ μέτα.

ΙΦΙΓΕΝΕΙΑ.

καίτοι τά γ᾽ ἡμῶν σῇ ξυνήρμοσται τύχῃ.

ΟΡΕΣΤΗΣ.

εὔφημα φώνει· δεῖ με γὰρ στείχειν κάτω
βαιόν, φίλων ἐρῆμον· οὐδ᾽ ἂν εἶ, γύναι,
ταῖς σαῖς καλύπτραις περιβάλοις τὸν αἴτιον,
οὐκ ἂν λάθοι δεινῶπας ἀγρύπνους κόρας.
εἴκουσι μὲν νῦν κἀξαφίστανται τὸ σὸν,
σέβας τίουσαι· πλησίον δ᾽ ὁρμοῦσί που·
οὐ γὰρ θέμις σφιν ἀστιβεῖ σεμνῆς θεᾶς
ἅλσει βιαίως χαλκόπουν σκῆψαι βάσιν·
κλύω δ᾽ ὑλαγμὸν τηλόθεν πλανωμένων
κἀμείλιχον γέλασμα· χὡς λύκοι φόνον
βλέποντες ἀναμένουσιν ἐν δένδρου κλάδοις
ὁδοιπόρον πτήξαντα, κἀκεῖναι πέριξ
οὕτω λοχῶσί μ᾽· ὥσθ᾽ ὅταν τόνδ᾽ ἐκλίπω
ναόν, δράκουσιν ἐμπεπλεγμέναι κόμην
ἥξουσ᾽, ἑλίσσουσαί τε πάντοθεν κόνιν
καθιππάσονταί μ᾽ εὐπετῶς τάχει ποδῶν.

ΙΦΙΓΕΝΕΙΑ.

θέλεις, Ὀρέστα, προσφιλῆ κλύειν λόγον;

ΟΡΕΣΤΗΣ.

τούτῳ προσειπεῖν τοὺς θεῶν φίλους πρέπει.

ΙΦΙΓΕΝΕΙΑ.

φαίνουσι καινῆς γ᾽ ἐλπίδος τερπνὸν φάος.

ΟΡΕΣΤΗΣ.

Λήθης παρ᾽ ὄχθαις διὰ καπνοῦ καὶ λιγνύος
φάος φθιτῶν ὀρφναῖον εἰσορᾶν δοκῶ.

ΙΦΙΓΕΝΕΙΑ.

μίαν δ᾽ ἀδελφὴν εἶχες Ἠλέκτραν μόνην;

ΟΡΕΣΤΗΣ.

ταύτην μὲν οἶδα· τὴν δὲ νῷν γεραιτέραν 1145
δαίμων τις εὔνους, καίπερ οὐ δοκῶν τότε,
πρὸς καιρὸν ἐξέσωσε δωμάτων φθορᾶς.
ὦ μή μ᾽ ἐρώτα, μηδέ μοι παραστάτει
Ἅιδου θ᾽ ὑπουργὸς ποινίμων τ᾽ Ἐρινύων·
ἅλις γὰρ αὗταί γ᾽ ἐκτρέφουσ᾽ ἀρᾶς φλόγα, 1150
σποδόν τε συνθνήσκουσαν Ἀτρειδῶν γένει
ἄτης παλαιᾶς ζωπυροῦσιν ἀγρίαις
μανίας θυέλλαις, ὥστε μὴ λήγειν ποτὲ
νόσου βαρείας σφάκελον, ἢ βουλαῖς θεῶν
δεινῆς ἐχίδνης δήγμασιν δάπτει φρένα. 1155

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ ἔστ᾽ ἄκος μοι τήνδε κοιμίσαι νόσον·
τὸ συγγενὲς γὰρ καὶ τὸ συμφιλεῖν βροτοῖς
παιώνιον πέφυκεν ἀλγούσης φρενός.
Ὀρέστα φίλτατ᾽, ἆρά μου κλύεις λόγων;
ἢ σοι διωγμοῖς δαιμόνων δυσχειμέροις 1160
τοῦ σώματος πᾶν ἐκκεκήρανται σθένος,
ἢ δυσκρίτοις φόβοισιν ὡς Γοργοῦς θέᾳ
δρακοντομάλλου συμπέπηγέ σοι μέλη;
ἀλλ᾽ εἴ σ᾽ ἀλάστωρ αἵματος μητροκτόνου
καλεῖ πρὸς Ἅιδην δυσμενεῖ προσφθέγματι, 1165
πῶς οὐκ ἀδελφῆς εὐσεβὴς εὐχὴ θεοὺς
κἂν ἐξ Ὀλύμπου προσκαλοῖ συλλήπτορας;

ΟΡΕΣΤΗΣ.

καλεῖ, καλεῖ με. καὶ σύ μ᾽ ἆρ᾽ ἀποφθερεῖς;
καίτοι τέως με μαινὰς οὖσ᾽ ἐλάνθανες.
τίς εἶ, τίς εἶ σύ, παρθέν᾽, ἧς φώνημά μοι 1170

ψυχὴν ὀρίνει καρδίας κλυδωνίῳ;

ΙΦΙΓΕΝΕΙΑ.

ψυχὴ γὰρ ἥτις εἰμί σοι μαντεύεται·
Ὀρέστα φίλτατ᾽, Ἰφιγένειαν εἰσορᾷς
ζῶσαν.

ΟΡΕΣΤΗΣ.

σὲ κείνην ζῶσαν;

ΙΦΙΓΕΝΕΙΑ.

ὦδελφὸν κάρα.

ΟΡΕΣΤΗΣ.

1175 τί φῄς; ἄπελθε μηδέ μου ψαύσῃς τριχῶν·
ὥσπερ Κρεούσης νυμφικοὶ πέπλοι ποτέ,
κἀμὸν φλόγ᾽ ἄσβεστόν τιν᾽ ἐγκρύπτει δέμας.
ἄπελθ᾽, ἔασόν μ᾽· Ἡρακλέους θέλω τρόποις
θανεῖν ἀεικῆ θάνατον ἠρημωμένος.

ΙΦΙΓΕΝΕΙΑ.

1180 οὐ μὴ θανεῖ σύ γ᾽ ἐνθάδ᾽. ἀλλ᾽ ὦ πρὸς θεῶν
εἰς ἡσυχαίαν τοὺς λόγους στῆσον βάσιν,
γνώμης πλάνημά θ᾽ ὡς ἀπιστούσης ἔτι
παύσας ἄελπτόν μοι βεβαίωσαι τύχην.
δίναις γὰρ ἡδονῆς τε καὶ λύπης ἅμα
1185 κέαρ κυκλεῖται τοὐμόν· ὡς ἀγνῶτα μὲν
φρίσσω σε προσβλέπουσα, τἀδελφοῦ δέ μοι
ἁγνοῖς πόθοισι καρδία θερμαίνεται.

ΟΡΕΣΤΗΣ.

ἔα· τόδ᾽ ἱρὸν ἄρα Διονύσου πέλει,
ἐνθουσιᾷ τε πρόσπολος πνοαῖς θεοῦ;

ΙΦΙΓΕΝΕΙΑ.

1190 ὦ τάν, ἄκουσον ἠδὲ πρόσβλεψόν μ᾽ ὅπως

ἄλγιστα τλᾶσαν πήματ᾽ εὐφραίνει θεός.
ἀναπτεροῦμαι δ᾽ ἐλπίσιν, τὸ σόν γ᾽ ὅτι
κρᾶτ᾽ ἀσπάσασθαι, φιλτάτου βροτῶν ἐμοί,
καὶ ταῖσδε χερσίν, ἃς τέως μάτην κεναῖς
προὔτεινον αὔραις, σοῦ γε νῦν ἔστιν θιγεῖν. 1195
ὦ μή μ᾽ ἀπώσῃς· οὐδὲ γὰρ Παρνασόθεν
καθαρώτερον κρηναῖον εὔποτον γάνος
χρυσαυγὲς ἕρπον κατὰ πετρῶν ἄρδει πέδον,
ἢ νῦν ἐμοὺς ἔτεγξεν ὀφθαλμοὺς ῥέος
ἁγνὸν ποθεινῆς ἡδονῆς πλημμυρίδι. 1200
Ὀρέστ᾽ Ὀρέστ᾽ ἀδελφέ.

ΟΡΕΣΤΗΣ.

διογενὲς κόρη,
ἦ σοί τ᾽ ἀπιστῶ τοῖς τε σοῖς θωπεύμασιν.
σώφρων γὰρ αἰνεῖ σώφρον᾽ ἱερίαν θεά,
αἰδοῦς θ᾽ ὅσαι τηροῦσι σημαντήριον.
πρὸς ταῦτ᾽ ἀπόσχες τοῦδε σώματος χέρας· 1205
εἰ δ᾽ ἄνδρα σώζειν ἵμερός σ᾽ ἔχει νέον,
τερπνὸν παραγκάλισμα νυμφικοῦ λέχους,
φίλον παραινῶ σοί γ᾽ ἐμὸν θηρᾶν, ἐπεὶ
ἀνὴρ ἐμοῦ ᾽στιν ἀξιώτερος πολύ.
ἀλλ᾽ ἴθι, πλανᾶται γὰρ πέτραις ἐν ταῖσδέ που, 1210
ἴχνευε καὶ παίδευέ νιν, μέθες δ᾽ ἐμέ.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ ἴσχ᾽, ἀδελφέ, μηδ᾽ ἀτιμάσῃς μόλις
εὑρὼν ἀδελφήν, δυσσεβῆ θηρᾶν Κύπριν
λέγων σφε προφάσει χρωμένην τῷ συγγενεῖ.
ἀμβλωπὸν ὄσσων, ὦ θεοί, ᾽ξαιρεῖτ᾽ ἀχλύν, 1215
μὴ τῆς μεγίστης ἡδονῆς τυχόντε νῦν

τρισάθλιοι γενώμεθ᾽· ὦ φίλον κάρα,
ἔχεις ἀδελφήν, ἣν ἀπώλεσας πάλαι·
ἡ γὰρ θεά μ᾽ ἔσωσεν εἰς ἱρὸν τόδε
1220 μεταρσίαν φέρουσα τοῦ βωμοῦ πάρα·
σὺ δ᾽ αἰχμάλωτος τῇ θεᾷ θυτήριον
πεμφθεὶς ἀδελφὴν εὗρες ἀντὶ τῆς σφαγῆς.

ΟΡΕΣΤΗΣ.

τοιγὰρ τὰ λοίσθι᾽, ὦ τάλαινα, τοῦ γένους
ἡμῶν μιάσμαθ᾽ ἥλιος προσόψεται.
1225 οὐ καὶ κάσις νῷν ἐνθάδ᾽ Ἠλέκτρα κυρεῖ;
ὅπως μεθ᾽ ἡμῶν ἀποθάνῃ καὶ μὴ βίον
τείνῃ μερίμναις δυσφορώτερον μόρου.
εἶεν· πρόβαινε, πρόσπολ᾽, εἰς σφαγὴν ἐμοί.
πάλαι τε γὰρ ξύναιμος Ἀτρείδαις φόνος
1230 θεσμὸς πέφυκε, κἀμὲ δεῖ προσειδέναι
χάριν θεοῖς, ὁθούνεχ᾽ ὧδ᾽ ἄπαιδά με
φθείρειν ἐπαξιοῦσι. καὶ σύ μοι πιθοῦ·
μὴ φῶς τόδ᾽ ἄστρων ἡλίου τ᾽ ἄγαν πόθει,
ἕπου δ᾽ ἅμ᾽ ἡμῖν εἰς ἀνήλιον πέδον.
1235 ὡς γὰρ δράκοντες νέρθεν ἐν γαίας μυχοῖς
τραφέντες ηὐξήθησαν ἀλλήλων βορᾷ,
οὕτως ὅ γ᾽ ἡμῶν αὐτὸν ὄλλυσιν δόμος.
τοιγάρ σ᾽ ἄπαιδα δεῖ μολεῖν κἀναιτίαν. —
μή μοι φίλοικτον ὀμμάτων πέμψῃς βέλος·
1240 τοίοις ποτ᾽ ὄσσοις καὶ Κλυταιμνήστρας σέβας
τὸν παῖδα προσβλέπουσ᾽ ἐμάλθασσεν λιταῖς,
ὃ δ᾽ αἷμ᾽ ὅμαιμον στηθέων σπείρει πέδῳ,
θνήσκει τε μήτηρ. ἆ, φάνητ᾽, ἀλάστορες,
κύκλῳ χανοῦσαί τ᾽ ἐκφάνητ᾽, Ἐρινύες,

θεώμεναί τε χαίρεθ᾽ ἡδίστην θέαν 1245
ὑμῖν μέν, ἐχθίστην δὲ τοῖς πᾶσιν βροτοῖς.
οὐ γὰρ τόδ᾽ ἔχθρα θηγάνει τὸ φάσγανον,
οὐ δῆτα· θεία μοῖρ᾽ ἀναγκάζει κάσιν
ἄκουσαν· ἆ, μὴ κλαῖε· σὺ γὰρ ἀναιτία.
πρώτης ἀφ᾽ ἥβης μᾶλλον οὐδὲν ἦν ἐμοὶ 1250
φίλον τε τερπνόν τ᾽, ἢ τὸ μεμνῆσθαι σέθεν.
ὅμως δ᾽ ἔρεισον, λίσσομαι, χαλκοῦ γνάθον
στέρνων διαμπὰξ τῶνδ᾽, ἵν᾽ εὐνασθῇ ποτε
ἐντὸς ζεόντων πνευμάτων ἐχθρὸν μένος.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ οὐ σθένω γὰρ οὔτε τὴν ἀλγηδόνα 1255
μόνη γε τὴν νῦν οὔτε τὴν χαρὰν φέρειν,
ἄριστον ἀνδρῶν ποῦ Πυλάδην εὕροιμεν ἄν;

ΟΡΕΣΤΗΣ.

ἄλλην ἔτ᾽ ἔγχει ναμάτων λήθης πόσιν
πανυστάτην δὴ τέρψιν ἴασίν τ᾽ ἐμοί.
βίου γὰρ εὐθὺς σπασμὸς ἀλγεινὸς μέλη 1260
λείψει, κάτεισι δ᾽ ἡσυχῇ ψυχὴ τάχα
πρὸς τοῖσι λήθης ῥεύμασιν πλανωμένη
ἐς γῆν καμόντων καὶ τὸ δηναιὸν σκότος.
ὦ πρὸς θεῶν δέξασθε τὸν δυσδαίμονα
πάσης ἀλήτην γῆς ἐν εἰρήνης τόποις. — 1265
ποίας ποτ᾽ ὀμφῆς κέλαδος ἐν κλάδοις ψοφεῖ,
ποίων δὲ φωνῶν πνεύματ᾽ ἐν δένδρων σκιᾷ;
βλέψοντες οἷδ᾽ ἥκουσι τοὺς ἐπήλυδας.
τίς ἥδε χωρεῖ τάξις εὐπρεπὴς ἰδεῖν

1270 σεμνῶν τυράννων ἐμφερὴς ὁμιλίᾳ;
παῖδες γέροντες, ἄνδρες ἀναμεμιγμένοι
γυναιξίν, ἀλλήλοισι καὶ θεοῖς ἅμα
ἐοικότες στείχουσιν· ἀλλ᾽ ἤδη νοῶ·
εἰσὶν γὰρ ἡμῶν τοῦ γένους ἀρχηγέται.
τί φῶ;
1275 Ἀτρεὺς Θυέστην μειδιῶν προσφθέγγεται,
παῖδες δέ τοι σκιρτῶντες ἀμφέπουσί νιν.
ἆρ᾽ οὖν ἀραία νέρθε φλὸξ μαραίνεται,
θνήσκει τε μίσους θάλπος ὥσπερ ἡλίου;
χἠμᾶς ἄρ᾽ ἀσπάσεσθε προσφιλῶς, ἵνα
1280 κἀμοὶ χορείας τῆσδε θεοσεβοῦς μετῇ.

χαίρειν πύματος προγόνοισι λέγει στροφή.
τῶν Ταντταλιδῶν λοιπὸς Ὀρέστης·
ὑμῶν τὸ θέρος γὰρ ἀμησάμενος
κρατεραῖσιν ἀραῖς ζευχθεὶς κατέβην·
1285 πᾶν δ᾽ ἄχθος ἐπεὶ ῥᾷόν φασιν
τῇδε φέρεσθαι,
χἠμᾶς δέξασθε μετοίκους.
ἔα ἔα·
σέ τοι, Θυέστα, προσκυνῶ σέ τ᾽ Ἀτρέα·
ἔχθρας γὰρ Ἅιδης οὐ προσίεται πνοάς.
ἀλλὰ πατὴρ ὅπου δείξατε, τόν γ᾽ ἅπαξ
1290 ἐγὼ ζῶντ᾽ ἐσεῖδον οὐδ᾽ αὖ πάλιν.
σὺ γὰρ ὅδ᾽ εἶ, πάτερ; μητρὶ φίλῃ φίλος
κοινωνὸς γάμου καμόντων γύαις;
ἀλλ᾽ εἰ πελάζειν σοι Κλυταιμνήστρα θέλει,
κἀμὲ φίλον ποτιδέξεται ἔκγονον
ἀπόντα δαρὸν ποθοῦσ᾽ Ὀρέστην.

ἀλλ᾽ ἀσπάζεσθε τὸν ὑμέτερον ἀντιστρ. 1295
πάντες προφρόνως· ἦν μὲν γὰρ ἄνω
νόμος ἀρχαῖος τοῖσιν Ἀτρείδαις
αἱμορράντων πίστωμα χερῶν·
ὑπένερθε δ᾽ ἐπεὶ φιλία θάλλει
θάρσος θ᾽ ἡμῖν,
κἀμοὶ θέμις ἐνθάδε ναίειν. 1300
καίτοι τί φῶ;
οὔπω γέροντα Τάνταλον προσειδόμην
τὸν καὶ θεῶν λέσχαισιν ἠξιωμένον.
ποῦ δὲ κυρεῖ τανῦν; ἄγετέ μ᾽ ὡς τάχος,
ἵν᾽ αὐτοῦ σέβω τὸ σεμνὸν κάρα.
τί γὰρ ἀποστρέφεσθέ μ᾽ αἰδούμενοι; 1305
ἢ πάσχει τι κἀνθάδ᾽ ἄλγος τάλας;
οἴμοι ξυνίημ᾽· αἶσά νιν σκληρὰ θεῶν
στέρν᾽ ἀδαμαντοδέτοισιν ἐν ἕρκεσιν
στερραῖς ἐχάλκευσε πρὸς δύαισιν.

ἤδη δὲ καὶ σφώ γ᾽ ἥκετον νεκρῶν πλάκας; 1310
ὦ χαῖρ᾽, ἀδελφή· ποῦ δ᾽ ἔτ᾽ Ἠλέκτρα μένει;
ἣν εἴθε δεῦρο πρευμενὴς ἡμῖν τάχα
ἀγανῷ θεὸς πέμψειε τοξεύσας βέλει.
Πυλάδη, σέ γ᾽ ἡμῶν οἷον οἰκτείρω, φίλε·
ὅμως δ᾽ ἴωμεν· ὡς μολοῦσιν ἀρτίως 1315
πρέπει ξένοις ἄνακτα προσκυνεῖν χθονός.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ Φοῖβ᾽ Ἄπολλον Ἄρτεμίς τ᾽, ἐν οὐρανῷ
παρ᾽ ἡμέρας καὶ νύκτας αἴσιον φάος

ἄγοντες ἀνθρώποισιν, οὐ νεκροῖς κάτω,
1320 ὦ σώσαθ' ἡμᾶς, ὦ κασίγνητοι θεοί.
καὶ γὰρ σὺ τιμᾷς, ὦ θεά, τὸν σύγγονον
πάντων μάλισθ', ὅσ' αἶά τ' οὐρανός τ' ἔχει,
σιγῶσά τ' ἀεὶ προσβλέπεις κείνου κύκλον
αγνοῖς πόθοισιν ἐντακεῖσα παρθένος.
1325 μή μοι τὸν εὑρεθέντα σὺν χρόνῳ κάσιν
μανίας νόσοισι περιίδῃς ἀτώμενον,
ἀλλ' εὖτε σαῖς βουλαῖσι τῇδε τῇ χθονὶ
ἔτη τοσαῦτα κρυπτόμεσθ', ὅπως κάσις
ποθεινὸς ἔλθοι δεομένῃ τιμάορος,
1330 λῦσόν σφε δεινῆς ἀλλὰ νῦν ἀρᾶς, θεά,
μὴ καιρὸς ἡμᾶς ἐκφύγῃ σωτηρίας.

ΠΥΛΑΔΗΣ.

εἴπερ τόδ' ἄλσος εἰσορᾷς καὶ νώ, φίλε,
καὶ φέγγος ἡλίου τόδ' οὐ βλεπτὸν νεκροῖς
χεῖράς τ' ἀδελφῆς αἰσθάνει καὶ τοῦ φίλου,
1335 αἳ ζῶντά σ' ἴσχουσ' ἐμπέδοις ἀσπάσμασιν,
τόλμα θιγεῖν νῷν οὐ σκιαῖς ἐοικότοιν.
ἀλλ' οἶσθ' ὃ δρᾶσον; μὴ πρόκαμνε τῇ νόσῳ·
καιρός τε γὰρ ξυνεργὸς ἀνδράσιν πέλει
μέγιστος, ἡμεῖς θ' ἑστάναι γ' ἐπὶ ξυροῦ
1340 ἔοιγμεν, ἢν μὴ νόστον ἡ Τύχη πόρῃ.

ΟΡΕΣΤΗΣ.

ὦ θεοί, δότ' ἀνδρὶ τῷδ' ἐλευθέρᾳ φρενὶ
πρὸς φιλτάτοις στέρνοισιν ἀμπνεῦσαί ποτε.
ὅπως φλογωποῖς πυρφόροισιν ἀστραπαῖς
νεφελῶν καταιθαλοῦτε λυγαίων βίαν,
1345 γάνος τ' ἀρούραις ὄμβρον ἐξῃτημένον

βροντῆς ξὺν ἠχαῖς κἀνέμων ἀήμασιν
ἀγρίοισι χειμάρροισιν ἵετ᾽ ἐς χθόνα,
εὐθὺς δὲ θνητῶν ἐλπίδας δυσέλπιδας
κάλλιστ᾽ ἐλέγχετ᾽, ἀντὶ διατόρου φόβου
ὄλβον διδόντες κἀγανόφρον᾽ ἡδονήν, 1350
ὅτ᾽ ἐν νεορράντοισι λειμώνων δρόσοις
τὸ μυριωπὸν ἡλίου λάμπει σέλας
ἁπαλῇ τε ποικίλλουσα Θαυμαντὶς χερὶ
τὸν χρυσόπαστον ἐν ὁμίχλαις τείνει κύκλον·
οὕτως ποθ᾽ ἡμᾶς πρὸς κασιγνήτης φίλης 1355
κόλποις ἑταίρου τ᾽ ἀγκάλαισιν ἅλαβον
ὑμῶν διδόντων μνήμονας σώζειν δότε.
ἀμβλύνεται γὰρ ἐμφανῶς ἄτης βία
Ἐρινύων τε μοι δοκῶ κλύειν ὅπως
πρὸς Τάρταρον φεύγουσι καὶ χαλκηλάτους 1360
ξὺν ἀσπέτοις δούποισι κλῄουσιν πύλας.
ὀσμαὶ δὲ προσγελῶσί μ᾽ ἥδισται χθονός,
ὥστ᾽ αὖθις αἴας ἐν πέδοις θηρᾶν ποθῶ
βίου τε τέρψιν ἐργμάτων τ᾽ ἐσθλῶν κλέος.

ΠΥΛΑΔΗΣ.

καιρὸς γὰρ ἕρδειν μηδὲ διατρίβειν ἔτι. 1365
ὅταν δ᾽ ἁλὶ στήσωμεν οὐρίαν τρόπιν,
θεοῖσιν εὐχώμεσθα τοῖς Ὀλυμπίοις.
ἴωμεν, ὡς τὸ πρᾶγμά γ᾽ οὐ σχολῆς ἐρᾷ.

Δ.

ΙΦΙΓΕΝΕΙΑ.

1370 ὅτοισι βουλεύσωσι τῶν βροτῶν θεοὶ
πλῆθος βαρειῶν συμφορῶν πέμψαι βίῳ
1375 ἀλγῶν τε δεινὴν καὶ χαρᾶς μεταλλαγήν,
τούτοισι πόλεος ἐγγὺς ἢ ᾽φ᾽ ἁλὸς πρόσω
1380 κακοῖς τρέφουσ᾽ ἀρωγὸν ἥσυχον φίλον.
Πυλάδην τε σώσατ᾽, ὦ θεοί, καὶ πάνθ᾽ ὅσ᾽ ἂν
δράσῃ, πρὸς ὀρθὸν αἰὲν ἐκφέρειν δότε.
ἡβᾷ γὰρ αὐτῷ χεὶρ μὲν ἐν μάχῃ δορός,
1385 τὰ δ᾽ ὄμμαθ᾽ ὡς γέροντος ἐν βουλῇ πρέπει.
τηρεῖ γὰρ ἐντὸς ἡσύχῳ φρενῶν ἕδρᾳ
γνώμης ἀταρβοῦς ἐμπέδως κειμήλιον
καὶ τοῖς ἁλωμένοισιν ἐν πόνων πλάνῃ
βουλήν τε χρηστὴν οἶδε καὶ κακῶν ἄκος.
1390 ὡς ἄρτι τἀδελφοῦ μ᾽ ἀπέσπασεν χερῶν,
ὃν οὐκ ἔκαμνον αἰὲν εἰσορωμένη,
ἐμφῦσά τ᾽ ἀμφέπιπτον, οὐ δοκοῦσ᾽ ἔχειν
ἥν μοι παρ᾽ ἐλπίδ᾽ ἤνυσαν χάριν θεοί,
οὐδ᾽ ᾐσθόμην κίνδυνον, ᾧ φορούμεθα.
1395 καὶ νῦν γε διαπράξοντες ἀβουλευσάτην
στείχουσ᾽ ἐπ᾽ ἀκτήν, οὗ φίλοις ξὺν ἀνδράσιν
μένει τὸ πλοῖον πρὸς πέτραις κεκρυμμένον,
σοφὴν διδάξαντές γε ποικίλην τ᾽ ἐμὲ
γῆς τῆσδ᾽ ἄνακτι ῥῆσιν ἀντειπεῖν, ὅταν
1400 σφοδροῖς κελευσμοῖς θῦμα πορσύνων θεᾷ
πέμψῃ πρὸς ἡμᾶς. δεῖ γάρ, ὡς κἀμοὶ δοκεῖ,

γυναιξὶν ὡς καὶ παισὶ νουθετημάτων.
ἴσμεν γὰρ οὐδὲν τρανές, οὔθ᾽ ὅπως χρεὼν
τέχναισι κλέπτειν οὔτε σὺν δόλοις ἑλεῖν.
οἴμ᾽ ὡς ἀθυμῶ ψευδέων ἡσσωμένη. 1405
ψεῦδος δέ γ᾽ οὔπω καρδίαν ἐκοίμισε
στένουσαν, ὡς ὁ τῆς ἀληθείας λόγος,
αὐτὸν δ᾽ ἔπληξε τὸν λάθρα τεχνώμενον,
καὶ πτηνὸς ὥς τις ἰὸς ἐκ θεῶν τινος
σκοποῦ ᾽φαμαρτὼν ἠδ᾽ ἀναστραφεὶς πάλιν 1410
τὸν τοξότην ἔτρωσεν. ὦ τάλαιν᾽ ἐγώ,
ταράσσομαι φόβοισι, μή τι συγγόνου
θεαὶ βεβήλοις ἐν τόποις ἐπακτίοις
νέαις ξὺν ὀργαῖς αὖθις ἅψωνται φρενῶν.
ἦ που Σκύθαι νιν εὗρον; ὡς κλύειν δοκῶ
ὅπλων γε δοῦπον. ἀλλ᾽ ἰδού, πάρεσθ᾽ ὅδε 1415
κραιπνῶς βαδίζων βασιλέως τις ἄγγελος.
οἴμ᾽ ὡς κακὸν κρύος με περιπίτνει κέαρ
μέλλουσαν ὀρθοῖς ὄμμασιν τὸν ἄνδρ᾽ ὁρᾶν,
ὃν αἱμύλοις λόγοισιν ἐκκλέψαι με δεῖ. 1420

ΑΡΚΑΣ.

πόρσυνε θᾶσσον, ἱερία, τὰ θύματα.
ἄναξ τε γὰρ πάρεστι, σύν θ᾽ ὁ πᾶς λεώς.

ΙΦΙΓΕΝΕΙΑ.

ἑκοῦσα σοί τ᾽ ἂν κοιράνῳ τ᾽ ἐπειθόμην,
εἰ μή τι κώλυμ᾽ ἔκ τινος θείας τύχης
ἀπροσδόκητον εἶργε μὴ δρᾶσαι τάδε. 1425

ΑΡΚΑΣ.

τί τοὐμποδίζον τάς γ᾽ ἄνακτος ἐντολάς;

ΙΦΙΓΕΝΕΙΑ.

τύχη τις, ἧς οὐδείς γε τῶν θνητῶν κρατεῖ.

ΑΡΚΑΣ.

δήλωσον ἥτις, ὡς ἀπαγγείλω τάχα·
ἐπεὶ δέδοκται τοῦτο, τὼ ξένω θανεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

1430 ἀλλ᾽ οὐ δέδοκται τοῦτο τοῖς θεοῖσί πω.
ὁ πρόσθε γεννηθεὶς γὰρ αἰτίαν ἔχει
βαρεῖαν αἷμ᾽ ὅμαιμον ἐκχέαι πέδῳ·
τοιγὰρ λοχῶσί νιν θεῶν Ἐρινύες,
κἂν τοῖσδε ναοῖς ἀγρίᾳ ληφθεὶς νόσῳ
1435 δεινῶς ἐσείεθ᾽, ὥστε τῇ παρουσίᾳ
τἀνδρὸς μίασμ᾽ ἔχρανεν ἄστειπτον μυχόν.
ξὺν παρθένοις οὖν ταῖς ἐμαῖς κάτειμ᾽, ἵνα
θεᾶς βρέτας λούσασα ποντίας δρόσου
ἱροῖς καθαρμοῖς δεινὸν ἁγνίσω μύσος.
1440 ὁδὸν δ᾽ ἐρήμην δεῖ πέλειν κατασκόπων.

ΑΡΚΑΣ.

ἀλλ᾽ οὖν τὸ κώλυμ᾽ ὡς τάχιστ᾽ ἀπαγγελῶν
ἄπειμι βασιλεῖ τοῦτο· μὴ κάταρχε δὲ
σὺ τῶν καθαρμῶν, πρίν γ᾽ ἂν ἐντείλῃ Θόας.

ΙΦΙΓΕΝΕΙΑ.

μόνην τά γ᾽ ἄρρηθ᾽ ἱερίαν πρέπει τελεῖν.

ΑΡΚΑΣ.

1445 τἀπροσδόκητα δ᾽ εἰδέναι τοὺς κρείσσονας.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ οὖν ποιητέ᾽, εἴτε φησὶν εἴτε μή.

ΑΡΚΑΣ.

πρόφασιν ἐρωτᾶν τὸν κρατοῦντ᾽ οὐδὲν βλάβος.

ΙΦΙΓΕΝΕΙΑ.

μή τοι μ᾽ ἃ μὴ δεῖ ξυμπονεῖν ἀναγκάσῃς.

ΑΡΚΑΣ.

μὴ ξυμπονεῖν δέ γ᾽ αἰσχρὸν ἂν κέρδος φέρῃ.

ΙΦΙΓΕΝΕΙΑ.

εἶεν· τάχυνε δὴ σὺ καὶ ξύμφημ᾽ ἐγώ. 1450

ΑΡΚΑΣ.

οὔ τἄρ᾽ ἔτ᾽ ὀκνεῖν καιρός, ἀλλ᾽ ἐπὶ στρατὸν
εἶμ᾽, εἶτα δεῦρ᾽ ἄνακτος ἀγγελῶ λόγους.
εἴθ᾽ ἄλλο δ᾽ αὐτῷ προσφέρειν ἐξῆν ἔπος,
οἷόν τε πᾶσαν ἐξελεῖν δυσθυμίαν·
λιτὰς φίλων γὰρ κάρτ᾽ ἀτιμάσασ᾽ ἔχεις. 1455

ΙΦΙΓΕΝΕΙΑ.

ὅσ᾽ ἦν ἐφ᾽ ἡμῖν, ἡδέως ἐπράξαμεν.

ΑΡΚΑΣ.

πρὸς καιρόν, οἶμαι, νοῦν μεταλλάξεις ἔτι.

ΙΦΙΓΕΝΕΙΑ.

μὴ προσδοκήσῃς· καὶ γὰρ οὖν ἀνήνυτα.

ΑΡΚΑΣ.

οἴει γὰρ οὐκ ἀνύσθ᾽, ἃ σοι πόνον φέρει.

ΙΦΙΓΕΝΕΙΑ.

σὺ δ᾽ οὖν ἀνυστά γ᾽, ἐλπίσιν πλανώμενος. 1460

ΑΡΚΑΣ.

ὡς πάντα δὴ ῥίψουσα κίνδυνον λέγεις;

ΙΦΙΓΕΝΕΙΑ.

κεῖσθαι γὰρ οἶδα πάντα θεῶν ἐν γούνασι.

ΑΡΚΑΣ.

σώζουσιν οὗτοι τοὺς ξυνέρδοντας βροτῶν.

ΙΦΙΓΕΝΕΙΑ.

τοιγὰρ κράτιστον δρᾶν ἃ σημαίνουσί μοι.

ΑΡΚΑΣ.

ἐν σοὶ δὲ κεῖται πάνθ᾽ ἃ βουλεύεις ποιεῖν.
βασιλεὺς γὰρ ἡμῶν οἷος, ὡς ὀργῆς ἔχει,
πικρὸν ξένοιν τοῖνδ᾽ ἔσθ᾽ ὁ πορσύνων μόρον·
ἐπεὶ στρατός γ᾽ οὐχ ὡς προτοῦ σφαγαῖς ἔτι
φονίαις τε λατρείαισι νῦν ἀρέσκεται.
καὶ δὴ Σκυθῶν τις μορσίμοις πλανήμασιν
ἀκταῖσι πλαγχθεὶς πρὸς ξέναις αὐτὸς μαθὼν
ἔξοιδεν, ὡς οὐχ ἧσσον ἢ θεῶν τινος
πέλει πλανήτῃ πατρίδος ἐστερημένῳ
θελκτήρι᾽ ἀνδρῶν ἠπίων προσφθέγματα.
μήτ᾽ οὖν φθονήσῃς ἡμιν ὧν ἔχεις κράτος,
ὧν τ᾽ ἐνθάδ᾽ ἥρξω, νῦν ἐπίκρανον τέλος·
οἱ μαλθακοὶ γὰρ καὶ φιλάνθρωποι τρόποι
δόσει θεῶν φανέντες ἀνθρώπων γένει
μάλιστ᾽ ἐκεῖ θάλλουσιν ἐρριζωμένοι,
ἔνθ᾽ ἂν νεάζον ἔθνος, ἀνδρείας πλέων
νόμοις δὲ βαρβάροισιν ἐντεθραμμένον,
πότμου βροτείου παῦλαν ἢ λύσιν ποθῇ.

ΙΦΙΓΕΝΕΙΑ.

μή τοι μάτην γυναικὸς ἐκπλήξῃς φρένα,
ἐπεί σφε σοῖσιν οὐ σθένεις πείθειν λόγοις.

ΑΡΚΑΣ.

ἕως ἂν ᾖ πρὸς καιρόν, οὔτ᾽ ἐγὼ πονῶν
οὔτ᾽ ἂν λέγων λήξαιμ᾽ ἄν, ᾗ κέρδος φέροι.

ΙΦΙΓΕΝΕΙΑ.

μάταιον αὐτῷ μὲν πόνον, λύπην δ᾽ ἐμοὶ
τίκτεις· ἔασον οὖν με καὶ παῦσαι λέγων.

ΑΡΚΑΣ.

καὶ μὴν ἀρωγὸν παρακαλῶ λύπην, ἐπεὶ
μήτηρ πέφυκε σωφρόνων βουλευμάτων. 1490

ΙΦΙΓΕΝΕΙΑ.

ψυχὴν μὲν οὖν πίμπλησι τὴν ἐμὴν πόνων,
ὄκνου δέ γ᾽ οὐ λύει νιν οὐδ᾽ ἀλγηδόνος.

ΑΡΚΑΣ.

πῶς δ᾽ ἄλγος ἂν γένοιτο γενναίᾳ φρενὶ
εὐεργετεῖσθαι κοιράνου χρηστοῦ πάρα;

ΙΦΙΓΕΝΕΙΑ.

εἴπερ γ᾽ ὁ χρηστὸς χάριτος ἀντὶ τῆς ἐμῆς 1495
αὐτὴν λαβεῖν μ᾽ ἄκουσαν οὐ καλῶς θέλοι.

ΑΡΚΑΣ.

ὁ τὸν φιλοῦντα μὴ φιλῶν οὐκ ἄν ποτε
λόγων χατίζοι καὶ καλῶν σοφισμάτων.
ἀλλ᾽ εἶμ᾽ ἔγωγ᾽ ἄνακτι τἀνθάδ᾽ ἐξερῶν·
καὶ σοὶ παραινῶ πάντα μεμνῆσθαι φρενί, 1500
ὡς εὐμενεῖ σε κἀγανῇ προθυμίᾳ
ἔσωσεν ἐς τόδ᾽ ἦμαρ ἐξ ὅτου ᾽φάνης.

ΙΦΙΓΕΝΕΙΑ.

ἦ κάρτ᾽ ἀκαίρως, τἀνδρὸς εὐφρόνως ἐμοὶ
λέγοντος, ἐν στέρνοισιν ἐξαίφνης κέαρ
πάλιν τέτραπται δείμασίν τ᾽ ὀρίνεται. 1505

ὡς γὰρ θάλασσα ῥεύμασιν παλιρρόθοις
πέτρας ὑπερθρώσκουσα τὴν παρακτίαν
ψάμαθον νοτίζει, χαρμονῆς οὕτως ἐμοὶ
μακρόν τι πέλαγος καρδίαν κατέκλυσεν,
1510 τυχεῖν τε πάντων ᾠόμην ὧν εὔχομαι.
νεφέλαις γὰρ αὖθις ἵλεως δέμας θεὰ
πυκναῖσι περιβαλοῦσα τοὐμὸν Ἄρτεμις
μεταρσίαν μ᾽ ἐφαίνετ᾽ ἐξαίρειν χθονὸς
βαθεῖ στεγάζουσ᾽ ὀμμάτων κόρας ὕπνῳ,
1515 ὡς ἡνίκ᾽ ἀγκάλαισι ταῖς αὐτῆς ἐμὲ
λαβοῦσα δεῦρ᾽ ἔσωσε. τἀδελφοῦ μόνου
λίαν κρατηθεῖσ᾽ ἡδοναῖς ἀντειχόμην,
Πυλάδου τε βουλαῖς τοῦ φίλου πεπεισμένη
μόνην ἐκείνων ἐσκόπουν σωτηρίαν·
1520 ὅπως τ᾽ ἐρήμης γῆς ἀπάνθρωπον πάγον
φεύγουσ᾽ ἑκόντες ἐκφανέντα ναυτίλοι,
ἔρρειν ἄφαντον ᾠόμην Ταύρων χθόνα.
νῦν δ᾽ ἀνδρὸς ἐξήγειρεν εὔδουσαν φρένα
φώνημα πιστοῦ καί μ᾽ ἀνέμνησεν φίλων
1525 τῶν ἐνθάδ᾽, ὥστε μᾶλλον ἢ προτοῦ στυγῶ
ψεύδους ἀνάγκην. ἀλλὰ καρτέρει, φίλη
ψυχή· τανῦν γε καὶ διχοστατεῖν βαρύ.
ἢ γὰρ προτοῦ σ᾽ ἐρρύσατ᾽, οὐ σώζει σ᾽ ἔτι
δίαιτ᾽ ἐρῆμος· ὡς πάλιν διὰ ζάλης
1530 κάμνουσα βήσει κυμάτων ἐν ἀγκάλαις
σαυτὴν ἄμ᾽ ἀγνοοῦσα καὶ βουλὰς θεῶν.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ Ἰφιγένεια ποῦ ᾽στιν; ὡς βραχεῖ λόγῳ
σωτηρίας γλυκεῖαν ἀγγείλω φάτιν.

ΙΦΙΓΕΝΕΙΑ.

φόβοις μερίμναις τ᾽ εἰσορᾷς πλανωμένην
ἐσθλόν τε προσδοκῶσαν ὃν φέρεις λόγον. 1535

ΠΥΛΑΔΗΣ.

ἀδελφὸν ἴσθι τῆς νόσου πεπαυμένον.
στειπτὸν γὰρ ἀνθρώποισι πετρώδη στίβον
ἐπάκτιον πατοῦντες εἶθ᾽ ὑφ᾽ ἡδονῆς
μύθων τόδ᾽ ἄλσος ἐκλιπὼν ἐλάνθανεν·
κἀμοὶ μὲν ἄνθος φαιδρὸν ἐκ παρηίδων 1540
ἥβης ποθεινῆς αὖθις ἐξανθεῖν δοκεῖ
φόβης τε κρατός· φλόξ τε θαυμαστὴ βλέπειν
ἐξ ὀμμάτων ἔλαμπεν ἐλπίδος νέας.
καὶ νῦν γε θαρσοῦντ᾽ οἴομαι ζητεῖν, ὅπως
ἡμῖν ἂν εὕροι τέρμα τῆς σωτηρίας. 1545

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ εὐτυχοίης, καί σε τῶνδε τῶν λόγων
χάριν θεοὶ φρουροῖεν, ὥστε μή ποτε
φθόγγον στεναγμῶν στόματος ἐξελθεῖν κακῶν.

ΠΥΛΑΔΗΣ.

πλείω φέρω σοι κεδνὰ τῶν εἰρημένων·
μονόστολος γὰρ οὐ φιλεῖ βαίνειν τύχη. 1550
καὶ τούς γ᾽ ἑταίρους πάντας ἐξευρήκαμεν.
τὸ γὰρ σκάφος κρύψαντες ἐν πετρηρεφεῖ
κόλπῳ θαλάσσης ἀνέμενον καθήμενοι·
ἐπεὶ δ᾽ ἀδελφὸν ἐγγύθεν στείχοντα σὸν
ὁρῶσιν, ἐκπηδῶσι σὺν βοῇ πέδου 1555

καὶ πλοῦν ἐπείγειν πάντες ἐξαιτοῦσί νιν.
κώπην ἐλαύνειν πᾶς ἀνὴρ ἱμείρεται,
ταχύπτερόν τ᾽ ἄημα πρὸς καιρὸν φανὲν
σπεύδοντας οὐρίοισι προσσαίνει πνοαῖς.
1560 ἀλλ᾽ ἐγκονῶμεν· καὶ σύ γ᾽ εἰς ναόν μ᾽ ἄγε,
ὅπως ἂν εἰσελθὼν θεᾶς ἀνάκτορον
χερσὶν δέχωμαι τῆς πάλαι μ᾽ ἔρως ἔχει.
ὤμοι γὰρ οἵδε τοῦδέ τ᾽ οὐ ξένοι πόνου
μόνοι σθένουσιν ἀποφέρειν θεᾶς βρέτας,
1565 δεινῶς τε θυμὸς τόνδ᾽ ἐμὸς μόχθον ποθεῖ.
τί δ᾽ ἔστιν; ὡς ἔοικας ἐκφοβουμένη.
ἦ πού τι καινὴ συμφορά σ᾽ ἠνάγκασεν
ὀκνεῖν ἐμαῖς βουλαῖς ἐναντιουμένη;
οὐ γὰρ Θόαντι κεῖνον ὅν γ᾽ ἐξεύρομεν
1570 σοφῶς περιστέλλοντες ἤγγειλας λόγον;

ΙΦΙΓΕΝΕΙΑ.

ἤγγειλα, φίλτατ᾽· ἀλλ᾽ ὅμως μέμψει τί μοι·
δεινῶς γ᾽ ἐτάρβουν σὴν πρόσοψιν εἰσιδεῖν.
πομπὸς γὰρ ἡνίκ᾽ ἦλθε βασιλέως πάρα,
τὸν μῦθον εἶπον, ὡς ἐπέστειλας τότε·
1575 ὁ δ᾽ ἐκπλαγεὶς ἠμείβεθ᾽, ὡς ἄνακτι δεῖ
τριβὴν τοιαύτην πρῶτον ἐξαυδᾶν τορῶς
καὶ μὴ τελεῖν καθαρμὸν ἀρχόντων λάθρα.
νῦν δ᾽ αὖθις ἥξειν προσδοκῶ νιν αὐτίκα.

ΠΥΛΑΔΗΣ.

οἴμοι τάλας· κίνδυνον εἰσορῶ νέον
1580 ἡμῖν προσέρποντ᾽· ἀλλὰ λατρείαν θεᾶς
πῶς οὐκ ἔθου πρόβλημα τῆς ἀρνήσεως;

ΙΦΙΓΕΝΕΙΑ.

πρόβλημα δ᾽ εὐμένειαν ἂν θείμην θεῶν;

ΠΥΛΑΔΗΣ.

ὀλεῖς ἄρ᾽ ἡμᾶς καίπερ εὐσεβοῦσ᾽ ὅμως.
τί δ᾽ οὐκ ἐγὼ καὶ τήνδε τὴν ξυναλλαγὴν
εὖ προσκοπῶν ἔφραζον, ὡς ἄνακτά σε
τοιαῦτα προσχρῄζοντα δεῖ κλέπτειν λόγοις. 1585

ΙΦΙΓΕΝΕΙΑ.

μέμφει δικαίως· ἡ γὰρ αἰτία γ᾽ ἐμή.
ἀλλ᾽ οὐ γὰρ οἷα τ᾽ εἰμὶ σὺν δόλοις κακοῖς
ἕλεῖν τὸν ἄνδρα, τὸν δίκαι᾽ ἀεὶ μόνον
καὶ δρῶντ᾽ ἐφεῦρον κἄρτι προστάσσοντ᾽ ἐμοί. 1590

ΠΥΛΑΔΗΣ.

οὐκ εὐχερές τἄρ᾽ ὡς προτοῦ τὸ πρᾶγμ᾽ ἔτι.
ὅμως δὲ μὴ ταρβοῦντες ἢ πλανώμενοι
γνώμαις προδῶμεν πάντα. καὶ γὰρ οὖν χρεὼν
σὲ μὲν τὸν ἄνδρ᾽ ἐκεῖνον, ἡνίκ᾽ ἂν μόλῃ,
κλύειν τ᾽ ἀτρέστῳ κἀνταμείβεσθαι φρενί. 1595
τοιαῦτα γὰρ πρόσφαγματ᾽ οὐκ ἀρχῶν χθονός,
θυηπόλων δὲ πανταχοῦ νομίζεται.
ὥστ᾽ εἰ τὸν ἄνδρα τὸν ξένον θέλει βλέπειν
τὸν ἀγρίαις ξυνόντα μανιάσιν νόσοις,
ἔξεστ᾽ ἀπιστεῖν ἐν δίκῃ. φράσον δ᾽ ὅτι 1600
φυλάσσετ᾽ ἐν ναοῖς νιν· εἶθ᾽, ὅταν καλῇ
καιρός, ξυναρπάσαντες Ἀρτέμιδος βρέτας
ἐκ βαρβάρων γῆς ἅλιον αἴρωμεν στόλον.
σαίνει γὰρ οἰωνοῖσιν εὐτυχεστάτοις
ἡμᾶς Ἀπόλλων, κοὐ τελεσθέντων ἃ νῷν 1605
ἐφεῖτ᾽, ἔπραξε πάνθ᾽ ἃ νῷν ὑπέσχετο,

λύσας Ὀρέστην τῆς νόσου· ξὺν ᾧ πνοαὶ
ἀνέμων τάχ᾽ ἡμᾶς πομπίμων ἄγοιεν, οὗ
μυχοῖσι ναίει Φοῖβος ἐναλίας πέτρας,
1610 εἶτ᾽ ἐς Μυκήνας, ἔνθ᾽ ἀρᾶς πεπαυμένης
ἐφεστίους ψυχρᾶς ἀναστήσεις σποδοῦ
θεοὺς πατρῴους, Πελοπιδῶν φαιδρὸν σέβας,
πυρὸς πάλιν χλιδῶντας ἀγλαΐσματι
φλέγοντος ἐν βωμοῖσι· σαῖν δ᾽ αὖθις χεροῖν
1615 δέξαιντο πρώτης θυμιαμάτων γάνος.
οὐδεὶς γὰρ ἢ σὺ δώμασιν σωτηρίαν
οἴσεις παλαμναῖόν τ᾽ ἀποσκεδᾷς μύσος,
σεισθεῖσαν ὀρθοῦσ᾽ ἀσφαλεῖ τύχην χερί.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ φίλτατ᾽ ἀνδρῶν, χρυσέου δίκην κρόκου
1620 πρὸς ἥλιον τρέποντος εὐώδη κύκλον
τῶν σῶν λόγων κλύουσα κηλητήριον
φθόγγον πρὸς αὐγὴν ἡμέρας λεύσσειν δοκῶ.
ὦ θεοί, παρόντος ὡς ἄρ᾽ εὐφραίνει κέαρ
φίλου βέβαιος μῦθος, ἄγνωτος βροτῷ
1625 ὅστις μονωθεὶς τῶν φίλων τρίβει βίον.
τῷ μὲν γὰρ ἐν στέρνοισιν ἀντέλλει βραδὺν
πρόνοια καρπόν· ῥᾷστα δ᾽ ἐξάγει θέρος
βουλῆς βροτοῖσιν ἡ φίλων παρουσία.

ΠΥΛΑΔΗΣ.

ἤδη δὲ χαῖρ᾽, ὦ παρθέν᾽· ὡς ἄπειμ᾽, ἵνα
1630 πάλαι με προσδοκῶσιν οἱ ξυνναυβάται.
ἄνειμι δ᾽ αὖθις δεῦρο, καὶ κεκρυμμένος
θάμνοις πέτραις τε περιμενῶ σ᾽ ἕως φράσῃς—
τί δ᾽ ἔστι καινόν; ἐμφανῶς γὰρ αὖ πάλιν

λύπη σκιάζει λαμπρὸν ὀμμάτων σέλας.

ΙΦΙΓΕΝΕΙΑ.

σύγγνωθ᾽· ὅπως γὰρ ἥλιον κούφη δρόσος 1635
τίθησ᾽ ἄφαντον, τοὐμὸν ὡσαύτως κέαρ
βραχὺν μέριμναι συγκαλύπτουσιν χρόνον.

ΠΥΛΑΔΗΣ.

θάρσει· φόβος γὰρ κἀπικίνδυνος τύχη
κακοὶ πέλονται τοῖς βροτοῖς ξυνωμόται.

ΙΦΙΓΕΝΕΙΑ.

αἰδὼς δίκης ξύνεδρος, οὐ φόβος μ᾽ ἔχει, 1640
ἐπεί γ᾽ ἄνακτα πατρὸς οὐδὲν ἥσσονα
κλέψασ᾽ ἃ μὴ δεῖ νῦν ἀφαιρεῖσθαι θέλω.

ΠΥΛΑΔΗΣ.

φεύγεις δ᾽ ἀδελφόν γ᾽ ὃς διαφθείρειν νοεῖ.

ΙΦΙΓΕΝΕΙΑ.

ἔμοιγ᾽ ἐκεῖνος αἰὲν εὐμενὴς ἔφυ.

ΠΥΛΑΔΗΣ.

οὐκ ἔστι μεμπτὸν ἂν ἀναγκασθῇς ποιεῖν. 1645

ΙΦΙΓΕΝΕΙΑ.

μεμπτὸν μέν, ἄξιον δὲ συγγνώμης τυχεῖν.

ΠΥΛΑΔΗΣ.

ἐν θεοῖς γ᾽ ὁμοίως κἂν βροτοῖσι πανταχοῦ.

ΙΦΙΓΕΝΕΙΑ.

τοὐμὸν δὲ τούτοις στέρνον οὐχ ὁμορροθεῖ.

ΠΥΛΑΔΗΣ.

αὐθαδία τοι τῶν ἀμηχάνων ἐρᾶν.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκ ἐξετάζειν, ἀλλὰ σωφρονεῖν ἔφυν. 1650

ΠΥΛΑΔΗΣ.

τοιγὰρ φρονοῦσα στέρξον ὅν γ᾽ ἔχεις τρόπον.

ΙΦΙΓΕΝΕΙΑ.

στέρξει δ᾽ ἑαυτὸν ὅστις ἁγνεύει μόνος.

ΠΥΛΑΔΗΣ.

ναὸς μὲν ἁγνὴν προσπόλου σώζει φρένα·
ὅστις δ᾽ ἂν ἐν πολλοῖσιν ἐκπερᾷ βίον,
1655 *σκληρὸν μαλάξει θυμόν· ὡσαύτως δὲ σύ.*
οὕτως ἔφυ θαυμαστὸν ἀνθρώπων γένος,
οὕτως θ᾽ ἁλωτὸν ἐν τύχης ἀγρεύμασιν,
ὥστ᾽ οὐδ᾽ ἂν εἷς ποτ᾽, εἴτ᾽ ἐρῆμος εἴτε καὶ
οἰκεῖ μετ᾽ ἄλλων, πάντ᾽ ἂν ἁγνεύοι βίον.
1660 *καὶ πρὸς δικασταί γ᾽ οὐ κυροῦσ᾽ αὑτῶν βροτοί.*
σιγῇ βαδίζειν καὶ τὰ πρὸς ποσὶν σκοπεῖν
σωτηρία θνητοῖσιν ἀσφαλεστάτη·
παῦροι γὰρ αὑτοῖς τῶν δεδραμένων κριταὶ
ὀρθοὶ λέγοιντ᾽ ἄν, ὧν δὲ δρῶσιν, οὐδ᾽ ἂν εἷς.

ΙΦΙΓΕΝΕΙΑ.

1665 *σχεδόν τι πείθεις ταῦθ᾽ ἃ μοι λέγεις ποιεῖν.*

ΠΥΛΑΔΗΣ.

ταχεῖα πειθὼ τοῖσιν ἠναγκασμένοις.
μιᾶς γὰρ οὔσης μηχανῆς σὲ καὶ κάσιν
φίλον τε σώζειν πῶς ἀπιστήσαιμεν ἄν;

ΙΦΙΓΕΝΕΙΑ.

μή μοί τι μέμψῃ δειμάτων ἡσσωμένῃ.
1670 *καὐτὸς γὰρ ὀκνοίης ἂν ἐσθλὸς ὢν φίλους*
εὖ δρῶντας ἔργοις ἀνταμείψασθαι κακοῖς.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ ἦν ὀλώμεθ᾽, ἄλγος ἄλγιον τάχα

στένοις ἄν, οὐχὶ μέτριον ἀλλ᾽ ἀμήχανον.
τῇ δ᾽ εὐμαρείᾳ τῆς τύχης χλιδᾶν δοκεῖς,
ἐπεὶ τὸ μεῖζον κέρδος οὐ θέλεις λαβεῖν 1675
ψεῦδός τι μικρὸν ἀντιδοῦσ᾽ ἀντίσταθμον.

ΙΦΙΓΕΝΕΙΑ.

εἴθ᾽ ἀνδρόβουλον ἔφερον ἐν στέρνοις κέαρ,
ἵν᾽, εἴ τι τολμᾶν κἄμ᾽ ὑπὲρ φίλων δέοι,
τὸν θυμὸν εἶχον πρὸς φόβους πεφραγμένον.

ΠΥΛΑΔΗΣ.

μάτην βραδύνεις· οὐ γὰρ ἐμβριθέστερον 1680
πέφυκ᾽ ἀνάγκης οὐδέν, ἧς γε καὶ θεοὶ
νόμοισι πειθαρχοῦσιν· οὐδ᾽ ἔβλαστέ πω
κείνῃ παλαιστὴς ὅστις ἀντανίσταται.
κρατεῖ δὲ σιγῇ Μοῖρα συμβούλων ἄτερ.
τοιγὰρ λέπαδνον καὶ σύ γ᾽ ἣν ἐπεμβάλῃ 1685
οἴσεις σιωπῇ. — τἄλλα πάντ᾽ ἐπίστασαι·
κἀγὼ τάχ᾽ ἥξω δεῦρ᾽, ὅπως πρὸς σοῦ θεᾶς
βρέτας λάβω σύνθημα τῆς σωτηρίας.

ΙΦΙΓΕΝΕΙΑ.

τἀνδρὸς λόγοισι πειστέον· χειμῶνα γὰρ
θεόσσυτον φίλοισιν ἐμπίπτονθ᾽ ὁρῶ. 1690
στένω δ᾽ ἐμαυτήν, τίς με περιμένει τύχη.
ἆρ᾽ ἔστ᾽ ἄπιστον ἐλπίδος φίλον θράσος,
πολλῶν ῥαγεισῶν ἣν ἔτ᾽ εἶχον ἔμπεδον;
ἀρὰ δ᾽ ἀεὶ ζῇ τοῖς βροτοῖσιν, οὐδ᾽ ἐμὸν
γένος παλαιὸν ὄλβον αὖθις ὄψεται; 1695
καίτοι τά γ᾽ ἄλλα πάντα συγχεῖται χρόνῳ·

φθίνει μὲν εὐεστὼ βίου, θνήσκουσι δὲ
ψυχῆς ἔρωτες· ἄφθιτος πάντων ἀρά.
χἠμᾶς ἄρ᾽ ἠπάτησαν ἐλπίδες κεναί,
1700 ὡς τῇδ᾽ ἐρήμη χωρὶς οἰκείων μένω
κακῶν, ὅπως ἁγναῖσι μὲν φρεσίν ποτε,
ἁγναῖς δὲ χερσὶ λύμαθ᾽ ἁγνίσαιμ᾽ ἐγὼ
δόμων πατρῴων. ταῖς ἐμαῖς ἐν ἀγκάλαις
πέφευγ᾽ ἀδελφὸς ἧς πρὶν ἦν ἐπήβολος
1705 νόσου βαρείας, ναῦς τ᾽ ἐμοὶ ταχύπτερος
πάρεστ᾽ ἀπάξουσ᾽ ἐς φίλης πάτρας πέδον·
καὶ δὴ διπλοῦν ἄγναμπτος ἀμπλάκημά μοι
φέρειν ἀνάγκη προσβαλοῦσα τυγχάνει,
ἄγαλμά θ᾽ ἱρόν, φίλτατον μέλημ᾽ ἐμοί,
1710 κλέψαι δόλοις τε κεῖνον ἐμβαλεῖν κακοῖς,
ὅς μοι βίον τ᾽ ἔδωκε καὶ σωτηρίαν.
ὦ μή τι δύσφρον ταῖς ἐμαῖς, Ὀλύμπιοι,
ἐᾶτε βλαστεῖν ἔχθος ἐν κόρης φρεσίν,
μηδ᾽ οἷον, ὡς λέγουσι, Τιτᾶνες πάλαι
1715 ὑμᾶς ἐμίσουν, ἀγρίαις δάπτῃ στύγος
γνάθοις ταλαίνης σπλάγχνον· ἀλλὰ σώσατε
ἡμᾶς τε χαὐτῶν ἔν γ᾽ ἐμῇ ψυχῇ σέβας.
ἔα·
παλαιὸν αὖθίς μοι δοκῶ μέλος κλύειν —
καίτοι τέως γ᾽ ἔχαιρον ἐκλελησμένη —
1720 Μοιρῶν ἀοιδήν, ἣν βαρυνθεῖσαι χόλῳ
ἧδον πεσόντος Ταντάλου χρυσῶν θρόνων.
ξυνασχαλῶσαι γὰρ φίλων μόχθοις λυγρὰν
ᾠδὴν ἐθρήνουν ἐξ ἀλυούσης φρενός.
ἣν παισὶν οἴκοι πολλάκις γραία τροφὸς

ἡμῖν ἔμελπεν· ἐξεμάνθανον δ᾽ ἐγώ. 1725

ΧΟΡΙΚΟΝ.

δεινὸν οὐρανίων πέλει στροφὴ α΄.
θεῶν ἐφαμερίοις κράτος βροτοῖσιν·
ἀρχὰν γὰρ στιβαραῖσιν δυσάλωτον
νωμῶσιν παλάμαις, μοιριδίων θεσμῶν
κράντορες, οὐδὲ τρέμουσιν ὑπερτέρου 1730
ἀλκάν τινος αὐτονόμως ἀνδρῶν βιότου κρα-
τοῦντες.

ἄζεσθαι δὲ μάλιστ᾽ ἐπαι- ἀντιστρ. α΄.
νῶ, τὸν οὐρανίαν ἄγωσ᾽ ἐς αὐλάν.
πέτραις γὰρ μετ᾽ ἄκραις καὶ νεφέλαισιν
χρυσέαις ἀμφὶ τραπέζαισι θρόνοι θνατοῖς
κεῖνται, ὅτῳ βιοτᾶς μακάρων θεοὶ 1735
αἰδοῦς δολίαν ἑτάρῳ πεῖραν μετέχειν διδῶσιν.

ἀλλ᾽ ἐάν ποτε νεῖκος ἀρ- στροφὴ β΄.
θῇ, τοὺς ἂν ξενίσωσι δαιτί,
ῥαισθέντας ἀπ᾽ αἰθερίων
ἑδράνων κατέδησεν Ἅιδου 1740
κευθμών· δουλοσύνας τε
καταικισθέντες ἐν πέδαισιν
οὐκ ἔτυχον κρίσεως μέλεοι δικαίας.
κεῖνοι δ᾽ εἰλαπίναις φίλον
νέκταρί τ᾽ εὐφραίνουσι θυμὸν 1745
χρυσέαισι δειπνοῦντες ἐν τραπέζαις.

οὐδ᾽ αὐτῶν ἔλεος μαλάσ- ἀντιστρ. β΄.
σει ψυχάν, ὀρέων δ᾽ ἐπ᾽ ὄχθαις

στείχοντες ἕδους ἐνέρων
1750 στοναχὰς ἀίουσι φωτῶν
δμαθέντων γλυκὺν ὕμνον.
ἀνάλγητοι δ' ἀποστρέφονται
1755 ἐχθοδοπῶν γενεὰν κατιδεῖν τε παίδων
μορφᾷ τάν ποτ' ἐρασμίαν
εἰκόνα πανδύρτων ἑταίρων
1760 ἔγκλημ' ἄναυδον βίας στυγοῦσιν.

τοίαν εἶσαν ἀοιδὰν στυγερὰν Μοῖραι· ἐπῳδ.
ἤκουσεν δ' ὁ γέρων ἐν νυχίοις ἄντροις,
καὶ παίδων δακρύοις πικροῖς
σιγῶν ἐκγόνων τε τύχαν
1765 ὀφθαλμοὺς οὔδει μέλεος
στηρίξας ἀπέκλαυσεν.

Ε.

ΑΡΚΑΣ.

δεινόν μ' ἔχει πλάνημα τῆς γνώμης, ἄναξ,
οὐκ εἰδόθ' ὅντιν' αἰτιάσωμαι δίκῃ.
πότερα κόροι δόλοισιν αἴρονται φυγὴν
1770 αὐτοὶ λαθραίαν, ἢ θεᾶς σφι παρθένος
κλοπαῖς ὑπουργεῖ; καὶ γὰρ ἡ φάτις κρατεῖ,
ὃ δεῦρ' ἔπεμψε τὴν ξένων συνωρίδα
ἐν τοῖσδέ που τόποισι κρύπτεσθαι σκάφος.
ἦ τοι νόσος γοῦν θἀτέρου χὴ τῆς κόρης
1775 ἄπιστος ἁγνῶν ὀργίων σκῆψις σφόδρα

δεῖσθαι τέχνης ἔοικε καὶ προμηθίας.

ΘΟΑΣ.

οὔκουν ἐκείνην παρακαλεῖθ᾽ ὅσον τάχος
ἐπακτίας τ᾽ αὐλῶνας ἐξιχνεύσετε
ἁλὸς πρὸς ὄχθαις καὶ θεᾶς ἀνακτόροις;
τέμενος μὲν ἱρὸν εὐλαβεῖσθε μὴ πατεῖν, 1780
ἀλλ᾽ ἐν βεβήλοις πυκνὸν ἱδρῦσαι λόχον,
χὥταν λάβητε, προσβαλεῖν ἐρρωμένως.

βαρεῖ κλύδωνι καρδίας χειμάζομαι.
ἐχθαρτέα γὰρ ἡ πρὸ τοῦ τιμωμένη,
ἐγώ τε μεμπτός, ὅστις εὐγενῆ φύσιν 1785
ἄγαν ὑπείκων ἐμφανῶς διέφθορα.
ζεύξεις γὰρ οὐκ ἄκοντα δουλίῳ ζυγῷ
ἄνθρωπον εὐπιθῆ τε παιδεύσεις φρένα,
σκληρᾶς ἀνάγκης ἤν σφ᾽ ἔχῃς ἐν ἡνίαις·
ὥστ᾽ εἰ Σκυθῶν νόμοισι τοῖς πρὶν ἀγρίοις 1790
ζώντων ἐλήφθη κἀπέδρα τὸ κατθανεῖν,
ἔχαιρεν ἂν σωθεῖσα τῶν φίλων μόνη
χάριν τ᾽ ἂν ᾔδει τοῖς θεοῖσι τῆς τύχης
πολλήν, ἑκοῦσά τ᾽ Ἀρτέμιδος ἀνάκτορον
φόνοις ξένων ἔρραινεν, εὐσέβειαν ἂν 1795
λέγουσα τἀναγκαῖον. ἀλλ᾽ εὔνοια γὰρ
τρέφει κάκιστον θρέμμα τὴν αὐθαδίαν,
μάτην νιν ἄξειν πρὸς λέχος γαμήλιον
ἤλπιζον· ἄλλο γὰρ προαιρεῖται λάχος.
πάρος μὲν ἡπίοισί μ᾽ εὔφραινεν τρόποις· 1800
τανῦν δ᾽, ὅτ᾽ οὐδέν ἐστι θωπτούσῃ πλέον,

ἀπάταισι χρῆται καὶ δόλοις, ἠθάς τέ πως
ὧν εὖ πέπονθεν οὐκέτι μνήμην ἔχει.

ΙΦΙΓΕΝΕΙΑ.

ὁρᾷς παροῦσαν· καὶ τί λιπαρεῖς μαθεῖν;

ΘΟΑΣ.

1805 ὡς πρὸς τί χρείας τἀπὸ σοῦ βραδύνεται;

ΙΦΙΓΕΝΕΙΑ.

ὃς πομπὸς ἡμῖν ἦλθε, πάντ᾽ ἀκήκοεν.

ΘΟΑΣ.

σαφέστερον δέ γ᾽ ἐκ σέθεν κλύοιμεν ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

νέας θεά σοι φροντίδος καιρὸν νέμει.

ΘΟΑΣ.

σοί γ᾽ οὐκ ἄκαιρον, ὡς δοκεῖ, χρόνου τριβήν.

ΙΦΙΓΕΝΕΙΑ.

1810 ἀλλ᾽ εἰ δοκεῖ σοι ταῦτα καὶ ψυχὴν ἔχων
ἄγναμπτον ἥκεις, αὐτὸν οὐ μολεῖν σ᾽ ἐχρῆν.
πολλοὺς γάρ, ἢν ἀνόσια βουλεύσῃ τελεῖν,
ἄναξ ὑπουργοὺς εὗρεν, οἳ παρηγμένοι
μισθοῖσι κοινωνοῦσιν ἀμπλακημάτων,
1815 ὥστ᾽ αὐτὸν ἐκτὸς αἰτίας ἔχειν πόδα.
χὥσπερ σκοτεινὸν ἀστραπὴν φαίνει νέφος,
κρύπτει δὲ τιμωροῦντα τοὺς θνητοὺς θεόν,
οὕτως ἄναξ μὲν αἷμα δρέψασθαι θέλων
ἕκηλος οἰκεῖ καὶ δέους ἐλεύθερος,
1820 σείουσι δ᾽ ἄλλων θανάσιμον βέλος χέρες.

ΘΟΑΣ.

ἐξαίσι᾽ ᾄδει πρόσπολος θεᾶς ἔπη.

ΙΦΙΓΕΝΕΙΑ.

᾽Αγαμέμνονος παῖς, οὐχὶ πρόσπολος λέγω.
ἀλλ᾽ εἴ μ᾽ ἐτίμας τοὐμὸν ἀγνοῶν γένος,
βασίλειαν εἰδὼς οὐκ ἀναγκάσεις βίᾳ.
πρώτης ἀφ᾽ ἥβης ἡδέως ὑπηρέτουν 1825
τοῖς μὲν τοκεῦσι πρῶτον, εἶτα δαίμοσιν,
πειθαρχίᾳ τ᾽ ἄριστα γιγνώσκω φρένα
ἐλευθεροῦσθαι· τοῖς δ᾽ ὑπερκόποις λόγοις
σκληροῖς θ᾽ ὑπείκειν ἀρσένων φρονήμασιν
οὔτ᾽ ἐν Μυκήναις οὔτε τῇδε μανθάνω. 1830

ΘΟΑΣ.

νόμος παλαιός, οὔ σ᾽ ἐγὼ βιάζομαι.

ΙΦΙΓΕΝΕΙΑ.

μάλιστα γὰρ νόμοισιν ἡδόμεσθ᾽, ὅταν
πρὸς τἄδικ᾽ αὐτοῖς χρώμεθα ξυνεργάταις.
ἀλλ᾽ ἔστιν ἄλλος τις νόμος γεραίτερος,
ὃς οὔ μ᾽ ἐᾷ τοῖς σοῖσι προσχωρεῖν λόγοις, 1835
πάντας κελεύων ξεῖνον αἰδεῖσθαι βροτούς.

ΘΟΑΣ.

ἄγχιστά σοι δοκοῦσιν οἱ νεανίαι
κεῖνοι προσήκειν. καὶ σὲ γὰρ δέους ὕπο
σοφὸν λέληθε τῆς προμηθίας ἔπος,
ὡς κοίρανον λόγοισι κεντῆσαι βαρύ. 1840

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ εἴτε σιγᾶν κρεῖσσον εἴτ᾽ οἴγειν στόμα,
οὐδέν σε κρύψαι τῶν γ᾽ ἐμῶν δυνήσομαι.
οὐ χὠ τά γ᾽ ἄλλ᾽ ἄτεγκτος ὢν αὐτὸς πάθῃ

μνήμων ὁμοῖα θᾶσσον οἰκτείρει κακά;
1845 ἡμᾶς δ᾽ ἐκείνων οὐ δοκεῖς ἀλγεῖν τύχῃ;
κἀγὼ γὰρ ἡ τάλαινα πρὸς βωμοῦ βάθροις
πεσοῦσα θάνατον ἔβλεπον στείχονθ᾽ ὁμοῦ·
λαοὶ δ᾽ ἀνωλόλυζον εὐφήμῳ βοῇ,
ξίφος τε θερμὸν αἷμ᾽ ἔπινε παρθένου
1850 σκοτίαισι δίναις ὀμμάτων στροβουμένων —
εἶτ᾽ ἀμπνέουσα τῆσδ᾽ ἔποικος ἢ χθονός.
ἣν οὖν θεοὶ παρέσχον εὐμενεῖς χάριν
τοῖς δυστυχοῦσιν ἐνδίκως ὀφείλομεν.
οὕτω φρονοῦσαν μή μ᾽ ἀναγκάσῃς βίᾳ.

ΘΟΑΣ.

1855 θεῶν γε θεσμοῖς, οὐκ ἄνακτι πειστέον.

ΙΦΙΓΕΝΕΙΑ.

μή τοι λόγοις πλαστοῖσι καλλύνῃς βίαν,
νικῶν γυναικὸς ἀσθενοῦς ἐρημίαν.
οὐχ ἧσσον ἡμεῖς ἀρσένων ἐλεύθεροι.
ἀλλ᾽ εἰ ξύναιμός σοὐνθάδ᾽ ἀντέστη μολών,
1860 ὦναξ, ἐμός, τὰ μὴ χρεὼν αἰτουμένῳ —
κἀκεῖνος ἔγχος σώματός τ᾽ ἰσχὺν ἔχει,
θεῶν ἄγραπτα νόμιμα ῥύσασθαι χερί.
κἀμοὶ μὲν οὐδὲν ἢ λιταί· λιτὰς δ᾽ ὅμως
σέβειν γυναικῶν ἄνδρα γενναῖον πρέπει.

ΘΟΑΣ.

1865 σέβω γε μᾶλλον ἢ κασιγνήτου ξίφος.

ΙΦΙΓΕΝΕΙΑ.

Ἄρης ἄπιστος ἐν κύβοις κρίνει μάχας
καί πως ἐναίρειν ἄνδρας εὐγενεῖς φιλεῖ.
πρὸς δ᾽ ἡ φύσις πολλαῖσιν ἐκσώζει τέχναις

ὕβρεως κρατούντων καὶ βίας τὸν ἀσθενῆ,
δόλων διδοῦσ᾽ ἔρωτα καὶ σοφισμάτων, 1870
εἴργειν, ὑφέρπειν, εἰκάθειν, ὑπεκτρέχειν·
οἷς οὐδὲν αἶσχος καταβαλεῖν τὸν κρείσσονα.

ΘΟΑΣ.

πάντων δὲ κρείσσων ἡ προμηθία δόλων.

ΙΦΙΓΕΝΕΙΑ.

οὐδ᾽ ἦθος αὐτῶν εὐγενὲς δεῖταί ποτε.

ΘΟΑΣ.

αὕτη γε μὴν ἡ ψῆφος εἰ δάκνει σ᾽ ὅρα. 1875

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ οὐ γάρ, ὦναξ, εἰσορᾷς μ᾽, ὅσος φρένας
πάλλει ταραγμὸς φροντίδων; δεῖ γὰρ τανῦν
τύχης με νικᾶν κἀπαμύνεσθαι φθόνον.
οἴμ᾽ ὡς πρὸς ἄνδρας θῆλυς ἀσθενὴς ἔφυ.
